www.tezaurliturgic.ro



# ΠΑΝΗΓΥΡΙΚΗ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΘΕΟΧΑΡΟΥΣ ΤΟΥ ΝΕΑΠΟΛΙΤΟΥ

Κατὰ τὸ ἔτος 1740, Αὐγούστου 20, ἐμαρτύρησεν
ὁ ἅγιος Θεοχάρης ὁ Νεαπολίτης (Νεβσεχηρλῆς)
ἐκ Μικρᾶς Ἀσίας.

Ἐν ἔτει 1740, ἐπὶ Σουλτάνου Ἀχμὲτ ἐν Κωνσταντινουπόλει καὶ Ἰμπραὴμ Πασᾶ γενικοῦ διοικητοῦ τῆς Μικρᾶς Ἀσίας, ἐν ἐμπολέμῳ καταστάσει ὄντος τοῦ Ὀθωμανικοῦ ἔθνους, ἐξεδόθη διάταγμα συγκεντρώσεως τῶν ἀρρένων τέκνων τῶν Χριστιανῶν εἰς στρατόπεδα συγκεντρώσεως. Ὀρφανὸς ἐκ γονέων ὁ Θεοχάρης, εὑρεθεὶς εἰς τοιαύτην κατάστασιν προσηύχετο νυχθημερὸν γονυκλινὴς διὰ τὴν λύτρωσίν των. Ρακένδυτα, πεινασμένα, ὑπέφερον τὰ σκλαβωμένα παιδία τοὺς ξυλοδαρμοὺς καὶ τὰς βασάνους.

Ἡμέραν τινὰ ὁ καδὴς (δικαστὴς) τῆς Νεαπόλεως (Νέβσεχηρ) Καππαδοκίας διερχόμενος ἐν μέσῳ αὐτῶν, εἶδε τὸν Θεοχάρην, τοῦ ἤρεσεν καὶ τὸν προσέλαβεν ὡς δοῦλον ἐν τῷ οἴκῳ του, καὶ τοῦ ἀνέθεσεν τὴν ἐν τῷ ὑποστατικῷ συντήρησιν τῶν κτηνῶν αὐτοῦ.

Μετὰ πάροδον ἀρκετοῦ χρόνου μίαν ἑσπέραν, ἡ σύζυγος τοῦ Καδῆ βλέπει τὸν Θεοχάρην γονυκλινῆ προσευχόμενον μὲ ὑψωμένας τὰς χεῖρας. Ἐντυπωσιασθεῖσα, παρηκολούθησεν τοῦτον ἐπ᾽ ἀρκετὸν χρόνον καὶ ἐθαύμασεν τὴν εὐλάβειαν καὶ εὐσέβειαν τοῦ παιδός. Ἀναφέρασα τοῦτο εἰς τὸν σύζυγόν της καὶ συσκεφθέντες περὶ αὐτοῦ ἀπεφάσισαν νὰ τὸν κάμουν γαμβρὸν εἰς τὴν θυγατέρα των. Καλοῦν λοιπὸν τὸν Θεοχάρην καὶ τοῦ λέγουν· «Βλέπομεν ὅτι εἶσαι δίκαιος, εὐσεβὴς καὶ καθ᾽ ἡμέραν προσεύχεσαι· πέραν δὲ τούτων εἶσαι εὔμορφος καὶ δυνατὸς καὶ ἀπεφασίσαμεν νὰ σὲ κάμωμεν γαμβρὸν εἰς τὴν θυγατέρα ἡμῶν· ποίους ἔχεις συγγενεῖς;» Ὁ δὲ Θεοχάρης· «Οὐδένα ἐν τῇ γῇ. Δὲν ἐγνώρισα γονεῖς, ἀλλὰ μόνον τὸν ἐν οὐρανοῖς Πατέρα καὶ Θεόν μου». Καὶ ὁ Καδῆς· «Θεοχάρη θὰ σὲ καταστήσω κύριον τῆς περιουσίας μου, ὡς γαμβρόν μου, θὰ κερδίσῃς πολλὰ χρήματα, θὰ διάγῃς βίον βασιλικόν, ἀλλὰ μόνον νὰ γενῇς Μωαμεθανός». Ὁ δὲ Θεοχάρης· «Αὐθέντα, ἐγὼ ἐγενήθην Χριστιανός, ἐβαπτίσθην, καὶ δὲν δύναμαι νὰ ἀρνηθῶ τὴν πίστιν τοῦ Σωτῆρός μου καὶ τῶν πατέρων μου».

Θεωρήσας τὴν ἀπάντησιν ὡς προσβλητικὴν ὁ Ὀθωμανὸς καδής, ἠπείλησεν τοῦτον διὰ τοῦ ἐκ πείνης καὶ βασάνων θανάτου.

Ὁ Θεοχάρης ἀναχωρήσας ἐκ προσώπου τοῦ αὐθέντου αὐτοῦ, μετέβη εὐθέως εἰς τὸν Ναὸν τοῦ ἁγίου Γεωργίου, εἰς τὸν ἡγιασμένον ἀρχιμανδρίτην πατέρα Γεώργιον, ὅπου ἐξωμολογήθη καὶ μετέλαβε τῶν Ἀχράντων Μυστηρίων. Ὁ εὐλογημένος πατὴρ τοῦ εἶπε· «Τέκνον, προσεύχου εἰς τὸν Θεόν, ἀνάγνωθι τὴν Γραφήν, διότι οὐδεὶς ἐκτὸς Αὐτοῦ δύναται νὰ σὲ λυτρώσῃ ἐκ τοῦ Ἀγαρηνοῦ». Τοῦ ἔδωκε δὲ καὶ τὴν Ἱερὰν Βίβλον.

Ἐπανελθὼν εἰς τὸ ὑποστατικὸν ὁ Θεοχάρης ἐκλήθη ὑπὸ τοῦ καδῆ, ὅστις τοῦ προέτεινε πάλιν τὸν γάμον καὶ τὴν ἄρνησιν τῆς πίστεως.

Μὴ δεχθεῖς τὸν ἐκτουρκισμὸν καὶ τὴν ἀλλαγὴν τῆς πατρῴας εὐσεβείας ὁ Θεοχάρης ἐφυλακίσθη καὶ διέμεινεν ἐπ᾽ ἀρκετὸν χρόνον ἄνευ τροφῆς καὶ μὲ ὀλίγον ὕδωρ, τὸ ὁποῖον κατὰ καιροὺς μετελάμβανεν, μὴ αἰσθανόμενος τὴν βάσανον τῆς πείνης καὶ ἔχων πάντοτε τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ δεόμενος. Παρελθόντος ἱκανοῦ χρόνου, ὁ ἄθεος δικαστὴς ἠρώτησε τὸν Θεοχάρην, ἐὰν μετενόησεν καὶ ἤθελεν νὰ ἀσπασθῇ τὴν πίστιν τῶν ἀγαρηνῶν. Μετὰ τὴν ἄρνησιν τοῦ ἁγίου, διέταξε νὰ δεθῇ οὗτος εἰς ἄλογον καὶ μετέβησαν μίαν ὥραν μακρὰν τοῦ Νεβσεχήρ, εἰς ἄμπελον τινά, ὅπου ὑπῆρχεν μία λεύκη. Ἐκεῖ δέσαντες αὐτόν, ἐπανέλαβον τὸν λόγον· ἐὰν ἤθελεν νὰ ἀρνηθῇ τὴν πίστιν θὰ ἐσώζετο, εἰδάλλως θὰ ἐκρεμᾶτο. Καὶ πάλιν ὁ Θεοχάρης, προσευχόμενος μὲ τοὺς ὀφθαλμοὺς εἰς τὸν οὐρανὸν καὶ ζητῶν δύναμιν εἰς τὸ μαρτύριόν του, ἠρνήθη. Οἱ δήμιοι θεωρήσαντες τὴν προσευχὴν τοῦ ἁγίου ὡς ὕβριν καὶ ἐμπαιγμόν, τὸν ἔδεσαν ἐκ τοῦ τραχήλου καὶ λιθοβολοῦντες αὐτόν, τὸν ἐκρέμασαν εἰς τὴν λεύκην. Ὅθεν τοιουτοτρόπως θανατώσαντες τὸν μάρτυρα τὸν ἔθαψαν εἰς λάκκον, ἔμπροσθεν τῆς λεύκης. Τότε ὁ οὐρανὸς ἐσκοτίσθη, καὶ ἦλθε μεγάλη καταιγὶς μετὰ βροντῶν καὶ ἀστραπῶν, ὥστε τὸ ἀπόσπασμα τῶν Ἀγαρηνῶν νὰ ἀποπροσανατολισθῇ καὶ νὰ παρασυρθῇ ὑπὸ τοῦ ρεύματος. Οἱ δὲ κάτοικοι τοῦ Νέβσεχηρ διηπόρουν διὰ τὴν αἰφνίδιον ὀργὴν τῶν στοιχείων τῆς φύσεως, καθότι ὁ καιρὸς ἦτο τότε αἴθριος. Ἡ δὲ σύζυγος τοῦ δικαστοῦ ἐπετίμα αὐτὸν λέγουσα· «Σᾶς ἀνέφερα ὅτι ἦτο ἅγιος ὁ νέος ἐκεῖνος καὶ δὲν μὲ εἰσηκούσατε· διὰ τοῦτο ἐγένοντο ταῦτα πάντα». Τὰ ἀνωτέρω ἔλαβον χώραν τὴν εἰκοστὴν Αὐγούστου τοῦ ἔτους 1740, ἐν Νεαπόλει (Νέβσεχηρ) τῆς Μικρᾶς Ἀσίας, ἦτο δὲ μεσημβρία, ὅτε ὁ ἅγιος μάρτυς παρέδωκε τὸ πνεῦμα.

Ἡ λεύκη ἐκείνη ὀνομάσθη «καυλὶ-καβάκ», ὃ ἐστὶ μεθερμηνευόμενον

«λεύκη αἵματος» καὶ δι' ἀρκετὸν χρόνον θραυομένου κλώνου τινὸς ἔρρεεν αἷμα.

Μετὰ πάροδον χρόνου ἱκανοῦ, εὐσεβὴς μοναχή, εἶδεν καθ' ὕπνον τὸν μάρτυρα ὅστις ἐζήτησεν τὴν ἀνακομιδὴν τῶν λειψάνων αὐτοῦ εἰς χριστιανικὸν τόπον, ἡ ὁποία καὶ ἐγένετο πάνδημος. Μὲ τὴν ἀναταλλαγὴν δὲ τῶν πληθυσμῶν, ἐν ἔτει 1923, ἦλθον τὰ λείψανα τοῦ ἁγίου Νεομάρτυρος Θεοχάρους εἰς Θεσσαλονίκην καὶ ἐτοποθετήθησαν εἰς τὸν ἱερὸν ναὸν τῆς ἁγίας Αἰκατερίνης Θεσσαλονίκης, ὅπου καὶ σήμερον εὑρίσκονται. Ἐγένοντο πηγὴ ἰάσεως τῶν νοσούντων, πλεῖστα δὲ ὅσα θαύματα ἀναφέρονται. Ἡ δὲ λεύκη, ἐφ' ἧς ἐκρεμάσθη, κατέστη τόπος προσκυνήματος τῶν Ὀθωμανῶν καὶ τῶν Ὀρθοδόξων μὲ τὴν ἐπωνυμίαν «κανλὶ-καβάκ» ἤτοι «λεύκη αἵματος».



www.tezaurliturgic.ro

# ΠΑΝΗΓΥΡΙΚΗ ΑΣΜΑΤΙΚΗ ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΟΥ ΝΕΟΜΑΡΤΥΡΟΣ ΘΕΟΧΑΡΟΥΣ ΤΟΥ ΝΕΑΠΟΛΙΤΟΥ

(Οὗ ἡ ἱερὰ μνήμη τελεῖται τὴν 20ὴν Αὐγούστου)
Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

## ΕΝ ΤΩ ΜΙΚΡΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν στίχους δ'. Καὶ ψάλλομεν στιχηρὰ προσόμοια:

Ἦχος α'. Τῶν οὐρανίων ταγμάτων.

Τοῦ Θεοχάρους τὴν μνήμην, τοῦ Νεομάρτυρος, ἐπιτελοῦντες δεῦτε, οἱ πιστοὶ εὐφρανθῶμεν, ᾄδοντες συμφώνως, χαίροις Χριστοῦ, στρατιῶτα ἀήττητε, τῆς Νεαπόλεως καύχημα ἱερόν, τὸ τῆς πίστεως κραταίωμα.

Ἐπωνυμίαν ἐκτήσω, τῆς θείας χάριτος, καὶ κατ' αὐτὴν συμφώνως, ἐπορεύθης ἐν βίῳ, νόμον τοῦ Κυρίου, τετηρηκώς, Νεομάρτυς Θεόχαρες, καὶ ἄχρις αἵματος δείξας τὴν ἀληθῆ, πρὸς Θεόν σου ἀφοσίωσιν.

Ὥσπερ ἀδάμας τὰς θλίψεις, ἐνεκαρτέρησας, τὰ τῶν βασάνων ἄλγη, φυλακῆς τὰς δεσμεύσεις, πεῖναν τε καὶ δίψαν, καὶ τῆς σαρκός, τὰς κακώσεις Θεόχαρες, ἐν πεποιθήσει καρδίας ἀναβοῶν, τὸν Χριστὸν οὐκ ἀπαρνήσομαι.

Ἡ Μικρασία καυχᾶται τῇ ἀναδείξει σου, καὶ εὐφροσύνως χαίρει, ἡ Νεάπολις ἅμα, ἔχουσα ὡς πλοῦτον, τὰ ἱερά, τῶν ἀγώνων σου ἔπαθλα, Θεσσαλονίκη τε φέρει ὡς θησαυρόν, τὰ σὰ λείψανα Θεόχαρες.

Δόξα. Ἦχος α΄.

Ἀγάλλου καὶ σκίρτα μητρικῶς, τῆς Μικρασίας ἡ Νεάπολις, ὡς λύχνον προβάλλουσα φωτοπρεπῆ, Θεοχάρην τὸν ἔνδοξον Νεομάρτυρα. Οὗτος γάρ, τὴν πίστιν τὴν ἁγίαν ὡμολόγησε, μετὰ σθένους ἀνδρικοῦ, ἐνώπιον τῶν ἀθέων ἀγαρηνῶν. Καὶ ἀπτοήτως διαβὰς τὸ στάδιον τῆς ἀθλήσεως, ἔφθασεν εἰς τὴν χαράν, τῆς αἰωνίου καὶ τερπνῆς ἀγαλλιάσεως.

Καὶ νῦν. Ἦχος δ΄.

Ἡ τοῦ φωτὸς ἡγιασμένη πύλη, καὶ Μήτηρ τῆς ζωῆς τῆς ἀληθοῦς, σήμερον τὰς πύλας οὐρανοῦ διέρχεται, καὶ πρὸς ζωὴν μεταβαίνει τὴν ἄληκτον μετὰ τιμῆς. Ἀγγέλων τάξεις μετὰ δέους παρίστανται, συνοδεύοντες τὴν τούτων οὖσαν τιμιωτέραν, καὶ πιστοὶ μετ᾽ εὐλαβείας λέγουσι· μὴ καταλίπῃς ἡμᾶς Δέσποινα

www.tezaurliturgic.ro

κενούς, ἀλλὰ δὸς ἡμῖν τὸ πλήρωμα τῆς παρουσίας σου, μυστικῶς εὐφραίνουσα ἡμᾶς, καὶ παρέχουσα ἡμῖν, τῆς σῆς ἀντιλήψεως τὰς χάριτας.

Ἦχος β'. Οἶκος τοῦ Εὐφραθᾶ.

ᾌσωμεν οἱ πιστοί, τῆς πίστεως τὸν στῦλον, τὸν ἀθλητὴν Κυρίου, τὸν θεῖον Θεοχάρην, τὸν μέγαν Νεομάρτυρα.

Στίχος· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Χαίρει μητροπρεπῶς, Νεάπολις τῇ μνήμῃ, τοῦ Θεοχάρους ἄρτι, καὶ πᾶσα Μικρασία, τιμᾷ αὐτοῦ τὰ τρόπαια.

Στίχος· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Ἔφερες ἀνδρικῶς, Θεόχαρες τὰ ἄλγη, πολυειδῶν βασάνων, βοῶν ἐν παῤῥησίᾳ, Χριστὸν οὐκ ἀπαρνήσομαι.

Δόξα. Ὅμοιον. (Τριαδικόν).

Ἕνα συμπροσκυνῶ, Θεὸν τρισὶ προσώποις, ἐξ οὗ τὸ εἶναι ἔχω, Πατέρα σὺν Υἱῷ τε, καὶ Πνεῦμα τὸ Ὁμότιμον.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον. Τῆς ἑορτῆς.

www.tezaurliturgic.ro

Δέσποινα τοῦ παντός, Κυρία τῶν Ἀγγέλων, Θεογεννῆτορ Κόρη, παράστηθι τοῖς πίστει, τιμῶσι σου τὴν κοίμησιν.

Ἀπολυτίκιον.
Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς ἀκλόνητος στῦλος, Νεομάρτυς Θεόχαρες, ἔφερες τὰ ἄλγη, τὴν πεῖναν, φυλακάς τε καὶ μάστιγας· ἐδέθης ἐπ᾽ ἀλόγου καὶ εἰς γῆν, ἐσύρθης δι᾽ ἀγάπην τοῦ Χριστοῦ, ἐλιθάσθης, ἐκρεμάσθης, τελειωθείς, εἰς λεύκην τὴν τοῦ αἵματος. Χαίροις Νεαπολίτα Ἀθλητά, χαίροις σφραγὶς τῆς πίστεως, χαίροις Θεσσαλονίκης θησαυρέ, φωστὴρ Καππαδοκίας τε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος α΄.

Ἐν τῇ γεννήσει, τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν.

Καὶ Ἀπόλυσις.

www.tezaurliturgic.ro



# ΕΝ ΤΩ ΜΕΓΑΛΩ ΕΣΠΕΡΙΝΩ.

Ἱστῶμεν στίχους στ´.

Ἦχος α´. Πανεύφημοι Μάρτυρες.

Συμφώνως αἰνέσωμεν πιστοί, Θεοχάρην σήμερον, τὸν εὐκλεῆ Νεομάρτυρα· αὐτοῦ δοξάζοντες, τοὺς μεγάλους ἄθλους, τὰ λαμπρὰ παλαίσματα, καὶ τὴν ὁμολογίαν τῆς πίστεως, καλῶς ἣν ἔδωκε, τοῖς ἀθέοις κατενώπιον, μεγαλύνας τοῦ Θεοῦ τὸ ὄνομα.

Νεάπολις χαίρει μητρικῶς, ἐπὶ σοὶ Θεόχαρες, ἡ Μικρασία τε ἅπασα· φαιδρῶς λαμπρύνεται, τῇ σεπτῇ σου μνήμῃ, Νεομάρτυς ἔνδοξε, καὶ αἶνόν σοι προσφέρει ἐπάξιον, καὶ γὰρ ἀνέτειλας, ἀπὸ ταύτης ὥσπερ ἥλιος, καταυγάζων, κόσμου τὰ πληρώματα.

Βασάνους ὑπέμεινας σκληράς, ἀθλητὰ Θεόχαρες, ἀνδρειοτάτῳ φρονήματι, Θεοῦ κτησάμενος, ὡς φρουρὸν καὶ τεῖχος, τὴν ἰσχὺν τὴν ἄθραυστον, διὸ τῶν πολεμίων συνέτριψας, τὸ θράσος ἅγιε, ἐπαξίως κομισάμενος, τὸ τῆς νίκης, εὐπρεπὲς διάδημα.

Ἕτερα. Ἦχος δ´. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Τῶν Μαρτύρων τὰ τάγματα, ἐπὶ σοὶ ἐπαγάλλονται, ἀθλητὰ Θεόχαρες, χαριτώνυμε· τὰ τῶν Ἀγγέλων στρατεύματα, ὁμοῦ συνευφραίνονται, καὶ σκιρτῶσι μυστικῶς, τῶν πιστῶν τὰ πληρώματα· μεγαλύνοντες, τοὺς πολλοὺς καὶ μεγάλους σου ἀγῶνας, οὓς διήνυσας προθύμως, διὰ τὴν πίστιν τὴν ἄμωμον.

Τοῦ Κυρίου τὸ ὄνομα, εὐθαρσῶς ὡμολόγησας, τοῖς ἀθέοις ἔμπροσθεν, ὦ Θεόχαρες· καὶ μετὰ θάῤῥους ἐβόησας, οὐ θλίψις χωρίσει με, τῆς ἀγάπης τοῦ Χριστοῦ, οὐ λιμὸς οὐδὲ μάχαιρα· οὐδὲ θάνατος, τῆς ζωῆς γὰρ τὰς θείας ἀντιδόσεις, προσδοκῶ ἐν κοινωνίᾳ, τῆς τῶν ἁγίων λαμπρότητος.

Ἑορτίως ἀγάλλεται, ἡ Νεάπολις σήμερον, Μικρασία χαίρει τε, μεγαλύνουσα· τὸν εὐκλεῆ Νεομάρτυρα, τῆς πίστεως πρόμαχον, Θεοχάρην τοῦ Χριστοῦ, στρατιώτην ἀήττητον· τὸν βαδίσαντα, ἀκλινῶς τῆς ἀθλήσεως τὸν δρόμον, καὶ κερδίσαντα τῆς νίκης, τὸν ἀμαράντινον στέφανον.

Δόξα. Ἦχος α΄.

Τὸν Νεομάρτυρα Χριστοῦ, Θεοχάρην τὸν Νεαπολίτην, δεῦτε πιστοὶ συμφώνως μακαρίσωμεν, ἐν τῇ εὐσήμῳ ἡμέρᾳ τῆς αὐτοῦ πανηγύρεως, βοῶντες καὶ λέγοντες· χαίροις τῆς ἐκκλησίας γενναῖε στρατιῶτα, καὶ τῆς ἀληθείας πρόμαχε ἀήττητε, ὁ βεβαιώσας τὴν ἰσχὺν τῆς καλῆς ὁμολογίας. Χαίροις ἀθλητὰ τροπαιοφόρε τῆς πίστεως, ὁ ἐν δόξῃ δοξάσας τὸν ἀθλοθέτην σου Θεόν, καὶ τοῦτον ὑπὲρ πάντων εὐμενίζων, ταῖς ἀπαύστοις ἱκεσίαις σου.

Καὶ νῦν. Ἦχος ὁ αὐτός (τῆς ἑορτῆς)

Ἡ τοῦ φωτὸς πύλη, καὶ τῆς ζωῆς Μήτηρ ἄφθορος, ἡ Θεοτόκος Μαριάμ, πρὸς ζωὴν μεταβαίνει τὴν αἰώνιον, ἔνθα τοῦ φωτὸς ἐστὶν ἡ πληρότης ἡ ὑπέρχρονος, καὶ πάσης εὐκληρίας ἡ λαμπρότης ἡ ὑπέρκαλλος. Δεῦτε ταύτην σήμερον πιστοί, ὕμνοις προπέμψωμεν πρεπωδεστάτοις, οὕτω βοῶντες ἀγαλλόμενοι· Ἀνάγαγε ἡμᾶς ἐκ τοῦ θανάτου τῆς φθορᾶς, καὶ ὁδήγησον ἡμᾶς εἰς τῆς ἀθανάτου φωτοχυσίας, τὰ οὐράνια σκηνώματα.

Εἴσοδος, Φῶς ἱλαρόν,
Τὸ Προκείμενον τῆς ἡμέρας
καὶ τὰ Ἀναγνώσματα.

Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα.
(Κεφ. μγ΄, 9-14).

Τάδε λέγει Κύριος. Πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. Τίς ἀναγγελεῖ ταῦτα ἐν αὐτοῖς; Ἢ τὰ ἐξ ἀρχῆς, τίς ἀκουστὰ ποιήσει ἡμῖν; Ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν, καὶ δικαιωθήτωσαν, καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς Κύριος ὁ Θεός, καὶ ὁ παῖς, ὃν ἐξελεξάμην· ἵνα γνῶτε καὶ πιστεύσητε, καὶ συνῆτε, ὅτι ἐγώ εἰμι. Ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεός, καὶ μετ᾿ ἐμὲ οὐκ ἔσται. Ἐγώ εἰμι ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σώζων. Ἐγὼ

ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα, καὶ οὐκ ἦν ἐν ἡμῖν ἀλλότριος. Ὑμεῖς ἐμοὶ μάρτυρες, καὶ ἐγὼ Κύριος ὁ Θεός, ὅτι ἀπ' ἀρχῆς ἐγώ εἰμι, καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος. Ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτω λέγει Κύριος ὁ Θεός, ὁ λυτρούμενος ἡμᾶς, ὁ Ἅγιος Ἰσραήλ.

## Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.
(Κεφ. γ', 1-9).

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

www.tezaurliturgic.ro

Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα.

(Κεφ. ε΄, 15-23, στ΄, 1-3)

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν, τὸν ζῆλον αὐτοῦ, καὶ ὁπλοποιήσει τήν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα, δικαιοσύνην· καὶ περιθήσεται κόρυθα, κρίσιν ἀνυπόκριτον· λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργήν, εἰς ῥομφαίαν· συνεκπολεμήσει δὲ αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας. Πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται· καὶ ἐκ πετροβόλου θυμοῦ, πλήρεις ῥιφήσονται χάλαζαι· ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης, ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως· ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν βασιλεῖς καὶ σύνετε· μάθετε δικασταὶ περάτων γῆς, ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν. Ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.



www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΙΤΗΝ

Ἦχος αʹ.

Ἐν εὐφροσύνῃ καὶ χαρᾷ πνευματικῇ, δεῦτε πιστοὶ πανηγυρίσωμεν, τὴν θείαν μνήμην τοῦ ἐνδόξου Νεομάρτυρος, Θεοχάρους τοῦ Νεαπολίτου. Καὶ τὴν τούτου θαυμάσωμεν ὑπομονήν, πῶς οὐκ ἐδειλίασεν ταῖς ἀπειλαῖς τῶν τυράννων, οὐδὲ ποσῶς ἐκάμφθη ταῖς τιμωρίαις τῶν βασάνων. Ἀλλ' ἔδειξεν ἐν ἄθλοις ἱεροῖς, πόσα ἰσχύει τοῦ Θεοῦ ἡμῶν, ἡ παντοδύναμος ἰσχύς, καὶ ἡ συμμαχία ἡ ἀνίκητος.

Ἦχος βʹ.

Τὸν στῦλον τῆς πίστεως τὸν ἀκλόνητον, καὶ τῆς ἐκκλησίας ἀδιάσειστον ἔρεισμα, Θεοχάρην τὸν θεῖον Νεομάρτυρα, δεῦτε πάντες ὕμνοις καὶ ᾠδαῖς ἐγκωμιάσωμεν. Οὗτος γὰρ Χριστῷ ἠκολούθησε προθύμως, καὶ τὰς ἁγίας ἐντολὰς ἐτήρησεν, ἄχρις αἵματος καθυπογράψας, τὴν πίστιν τὴν ἀμώμητον. Διὸ καὶ εὕρατο ἐν οὐρανοῖς, τὴν κληρονομίαν τὴν αἰώνιον, ἐν ταῖς σκηναῖς κατοικῶν τῆς ὑπὲρ νοῦν ὡραιότητος.

Ἦχος γʹ.

Θεοχάρης ὁ τῆς θείας χάριτος, ἐπώνυμος χριστομάρτυς, καὶ τοῦ Δεσπότου τῶν ὅλων δοῦλος γνησιώτατος, τὸ μέγα τάλαντον τῆς πίστεως, φιλοτίμως ὑπερηύξησε τοῖς πόνοις τῆς ἀθλήσεως. Καὶ παρέδωκεν ἡμῖν ἑαυτόν, τύπον καὶ ὑπογραμμὸν

θεαρέστου πολιτείας, ὅτι τῷ Θεῷ ἐδούλευσεν εἰλικρινῶς, καὶ ἔλαβε τοὺς ἐπαίνους παρ' αὐτοῦ, καὶ τὸν μισθὸν τῆς ἀγαθοδότου ἀπολαύσεως.

Ἦχος δ'.

Ἀγάλλεται μητροπρεπῶς ἡ Νεάπολις, τῆς ἐνδόξου Μικρασίας, καὶ ἡ ἁγιοτόκος Ἐκκλησία τοῦ Χριστοῦ εὐφραίνεται, πανευπρεπῶς στολιζομένη, τῇ θείᾳ σου ἑορτῇ Νεομάρτυς Θεόχαρες. Καὶ γὰρ ἐκ Νεαπόλεως ἐξήνθησας, ὡς ῥόδον πανεύοσμον, ἐν δουλείας τοῖς καιροῖς, καὶ τὴν πικρότητα ἐξήρανας, τῆς ἀθέου ἀπιστίας. Τὸν γλυκασμὸν δὲ τῆς τερπνῆς καὶ θείας ὡραιότητος, παρέχεις πᾶσι δαψιλῶς, τοῖς τιμῶσί σου τοὺς ἄθλους, καὶ τὰς ἀριστείας τῶν μεγάλων, καὶ πολλῶν κατορθωμάτων σου.

Ἦχος πλ. α'.

Τὰς βασάνους ἔσχεν ὡς τρυφήν, τὰ ἄλγη καὶ τοὺς μώλωπας, ὡς ἀπόλαυσιν χαρᾶς διηνεκοῦς, τὴν πεῖναν καὶ τὴν δίψαν, ὡς πλοῦτον ἀγαθῶν λυσιτελῶν, καὶ τὰ δεσμὰ τῆς φυλακῆς, ὡς ἄνεσιν ἐλευθερίας ψυχικῆς, ὁ Νεομάρτυς τοῦ Χριστοῦ, Θεοχάρης ὁ Νεαπολίτης. Διὸ καὶ ἐβεβαιώθη ἐν αὐτῷ, ὁ λόγος τοῦ ψαλμῳδοῦ ὁ λέγων, διήλθομεν διὰ πυρὸς καὶ ὕδατος, καὶ ἐξήγαγες ἡμᾶς εἰς ἀναψυχήν. Αὐτῆς τύχοιμεν καλῶς, οἱ τιμῶντες τούτου τὰ ἀθλητικὰ παλαίσματα.

Ἦχος πλ. β'.

www.tezaurliturgic.ro

Πρὸς Κύριον τὸν Θεὸν καὶ ἀθλοθέτην σου, ἦρας τοὺς ὀφθαλμούς σου Νεομάρτυς Θεόχαρες, ἐν τῷ καιρῷ τῶν τιμίων ἀγώνων σου, καὶ ἔλαβες παρ᾽ αὐτοῦ πλουσίαν, τὴν συμμαχίαν καὶ ἀντίληψιν. Διὸ καὶ τῶν ἀθέων ἀγαρηνῶν, ἐτροπώσω τὰς πανουργίας καὶ τὰ ἔνεδρα, καὶ νικηφόρος ἀνεδείχθης πανοπλίτης. Ἡ τοῦ Θεοῦ καὶ γὰρ ἰσχύς, ἀνίκητος ἐστὶ καὶ παντοδύναμος, ὡς βεβαιοῦσιν ἄθλοις παμμεγίστοις, πάντες οἱ ἀπ᾽ αἰῶνος καὶ εἰς τὸν αἰῶνα, δοξολογοῦντες αὐτὸν ἅγιοι.

Δόξα. Ἦχος πλ. δʹ.

Τὸν τῆς ὑπομονῆς καὶ τῆς καρτερίας θεῖον ἀδάμαντα, Θεοχάρην τὸν Νεομάρτυρα, δεῦτε κατὰ χρέος μεγαλύνωμεν. Ὡς γὰρ χρυσὸς ἐδοκιμάσθη, ἐν τῇ καμίνῳ τῆς ἀθλήσεως, καὶ τῇ κτίσει πάσῃ ἐξαισίως ὑπερέλαμψεν. Τούτου θαυμάζοντες τὸν ζῆλον τῆς πίστεως, μιμησώμεθα τὰς θείας ἀρετάς, ἃς φιλοπόνως ἐκτήσατο, ἵνα γνῶμεν τίς ἐστίν, ἡ ἀνταπόδοσις τῶν ἐργαζομένων ἐπιμελῶς, τὰς τοῦ νόμου ἐντολάς, καὶ τῆς χάριτος τὸ πλήρωμα.

Καὶ νῦν. Ἦχος πλ. δʹ. Τῆς ἑορτῆς.

Ἡ μεγάλη καὶ φωτοπρεπής σου ἑορτή, Θεοτόκε Παναγία Δέσποινα, πολλῆς ἡμῖν ἐστὶ χαρᾶς καὶ εὐλογίας μετάδοσις. Τῇ γὰρ κοιμήσει σου τῇ ζωηφόρῳ, ἐκ τῶν προσκαίρων καὶ λυπηρῶν τῆς γῆς, εἰς οὐρανοῦ μετέβης τὰ σκηνώματα, ἔνθα ἐστί ἡ ἀμετάθετος χαρὰ καὶ ἡ ἀληθινὴ τῆς εὐφροσύνης ἀπόλαυσις, ἥν ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν, παρέχει τοῖς τιμῶσι σε.

# ΕΙΣ ΤΑ ΑΠΟΣΤΙΧΑ

Ἦχος πλ. α'. Χαίροις ἀσκητικῶν.

Χαίροις τῆς Ἐκκλησίας Χριστοῦ, ὁ στρατιώτης ὁ στεῤῥὸς καὶ ἀήττητος, ἀνδρείας τῆς ψυχικῆς τε, ἡ θειοτάτη εἰκών, τῆς δικαιοσύνης, ὑποτύπωσις· ζυγὸν τοῦ Χριστοῦ γάρ, ἐπὶ τῶν ὤμων ἀνέλαβες, ὁμολογήσας, τοῖς ἀθέοις ἐνώπιον, τοῦ Κυρίου σου, τὸ πανάγιον ὄνομα. Μάρτυς ἀκαταμάχητε, Θεόχαρες ἔνδοξε, τῶν θεοσδότων χαρίτων, τὸ ὑπερπλῆρες θησαύρισμα, ἡμῖν ταῖς εὐχαῖς σου, ἐν χρηστότητι παράσχου, τὸ θεῖον ἔλεος.

Στίχος· Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις αὐτοῦ.

Αἶνον μητροπρεπῶς προσφωνεῖ, τῇ ἑορτίῳ σου τιμῇ ἡ Νεάπολις, Θεόχαρες Νεομάρτυς, Καππαδοκία ὁμοῦ, καὶ ἡ Μικρασία, συγχορεύουσι· χοροὺς ἀθλοφόρων, τοὺς ἱεροὺς γὰρ ἐκόσμησας, καὶ παρατάξεις, τῶν ἀθέων κατῄσχυνας, τῇ ἀπτώτῳ σου, καρτερίᾳ πολύαθλε. Δέξαι ἡμῶν τε σήμερον, τῆς δόξης τὸν ἔπαινον, καὶ ἐγκωμίων ἐνθέων, τὰ νικητήρια ᾄσματα, πλουσίως παρέχων, ἐν ἐλέει ἀμετρήτῳ, τὴν σὴν ἀντίληψιν.

Στίχος· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ,
ἐθαυμάστωσεν ὁ Κύριος.

Πόνους πολυειδεῖς τῇ σαρκί, διὰ τὴν πίστιν τὴν ἁγίαν ὑπέμεινας, Θεόχαρες Νεομάρτυς, τῆς φυλακῆς τὰ δεσμά,

www.tezaurliturgic.ro

πείνης μακροτάτης, τὰς κακώσεις τε· δεθεὶς ἐπ' ἀλόγου, ἐπὶ τῆς γῆς τε συρόμενος, ὥσπερ ἀδάμας, ἀκατάσειστος ἔμεινας, μὴ πτοούμενος, τὰ τῶν λίθων προσκόμματα. Εἶτα ἐπικρεμάμενος, εἰς λεύκην ἐξέχεας, τὸ σὸν πανίερον αἷμα, ἐξ οὗ ὡς ῥεῖθρα ἀκένωτα, θαυμάτων ἀπείρων, ἡ ἐνέργεια πηγάζει, τοῖς σὲ δοξάζουσιν.

Δόξα. Ἦχος πλ. α'.

Τὰς πολλὰς καὶ θαυμαστάς σου ἀριστείας, καὶ τὰ τρόπαια τῶν ἱερῶν ἀγώνων σου, ἐν θαυμασμῷ ἐγκωμιάζω, Νεομάρτυς τοῦ Χριστοῦ Θεόχαρες. Σὺ γὰρ ἐκ Νεαπόλεως τῆς Μικρασίας, ὡς ἀστὴρ ἀνέτειλας φωτοπρεπής, καταυγάζων ταῖς ἀκτῖσί σου, τῆς οἰκουμένης τὰ πληρώματα. Χαίρει ἐπὶ σοί, ἡ ἁγιόλεκτος Καππαδοκία μητρικῶς, καὶ καυχᾶται ἐξαιρέτως, ἡ τῆς Θεσσαλονίκης πόλις· ἔχει γὰρ ὡς θησαυρόν, τὰ χαριτόβρυτά σου λείψανα, προχέοντα ἰάσεις παντοδαπάς, τοῖς προσκυνοῦσι ταῦτα μετὰ πίστεως.

Καὶ νῦν. Ἦχος πλ. α'. Τῆς ἑορτῆς.

Τῆς οὐρανίου δόξης ἡ σκηνή, εἰς τὰ οὐράνια σκηνώματα, μετὰ δόξης καὶ τιμῆς πρεπούσης μεταβέβηκε· Καὶ ἡ κιβωτὸς τοῦ θεϊκοῦ ἁγιάσματος, ἁγιοπρεπῶς εἰς τὴν αἰώνιον βασιλείαν, τοῦ Υἱοῦ αὐτῆς κατέπαυσεν. Ζωαρχικῆς οὖν χάριτος ἡμῖν τὰς δωρεὰς παρέχει, τοῖς βοῶσι πρὸς αὐτήν, δόξα τῇ κοιμήσει σου Παναγία Μητροπάρθενε.

Τρισάγιον. Ἀπολυτίκιον.

Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.

Ὡς ἀκλόνητος στῦλος, Νεομάρτυς Θεόχαρες, ἔφερες τὰ ἄλγη, τὴν πεῖναν, φυλακάς τε καὶ μάστιγας· ἐδέθης ἐπ' ἀλόγου καὶ εἰς γῆν, ἐσύρθης δι' ἀγάπην τοῦ Χριστοῦ, ἐλιθάσθης, ἐκρεμάσθης, τελειωθείς, εἰς λεύκην τὴν τοῦ αἵματος. Χαίροις Νεαπολίτα Ἀθλητά, χαίροις σφραγὶς τῆς πίστεως, χαίροις Θεσσαλονίκης θησαυρέ, φωστὴρ Καππαδοκίας τε.

Δόξα. Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἀπολυτίκιον. Ἦχος α΄.

Ἐν τῇ γεννήσει, τὴν παρθενίαν ἐφύλαξας, ἐν τῇ κοιμήσει, τὸν κόσμον οὐ κατέλιπες Θεοτόκε. Μετέστης πρὸς τὴν ζωήν, Μήτηρ ὑπάρχουσα τῆς ζωῆς καὶ ταῖς πρεσβείαις ταῖς σαῖς λυτρουμένη, ἐκ θανάτου τὰς ψυχὰς ἡμῶν. (Τρίς).

Καὶ Ἀπόλυσις.



www.tezaurliturgic.ro

# ΕΝ Τῼ ΟΡΘΡῼ.

Μετὰ τὴν α΄ στιχολογίαν.

Κάθισμα. Ἦχος α΄. Τὸν τάφον σου Σωτήρ.

Συμφώνως οἱ πιστοί, ἐπαινέσωμεν ὕμνοις, τὸν νέον ἀθλητήν, τοῦ Χριστοῦ Θεοχάρην, ἐν χρόνοις τῆς δουλείας γάρ, ὡς ἀστὴρ ἐξανέτειλεν· καὶ ἐλάμπρυνε, τοῦ μαρτυρίου τῷ κάλλει· τὴν Νεάπολιν, ἐν ᾗ ἀξίως τὸ στέφος, τῆς νίκης ἐδέξατο.

Δόξα. Ὅμοιον.

Ἀγάλλονται φαιδρῶς, τῶν Ἀγγέλων αἱ τάξεις, καὶ χαίρουσιν ὁμοῦ, τῶν Μαρτύρων οἱ δῆμοι, τῇ μνήμῃ σου Θεόχαρες, στρατιῶτα τῆς πίστεως· σὺ γὰρ ἤθλησας, διὰ Χριστὸν στεῤῥοψύχως· καὶ ἐνίκησας, ἀγαρηνῶν ἀντιθέων, τὸ μάταιον φρύαγμα.

Καὶ νῦν. Θεοτοκίον. Ὅμοιον τῆς ἑορτῆς.

Τὴν Κοίμησιν τὴν σήν, Θεοτόκε Παρθένε, ἐν ὕμνοις καὶ ᾠδαῖς, οἱ πιστοὶ ὑπαντῶμεν, ἐνθέως ἀγαλλόμενοι, καὶ γαλήνης

πληρούμενοι· σὲ γὰρ ἔγνωμεν, ζωῆς τὸ μέγα ταμεῖον· ὡς χωρήσασα, τὸν ζωοδότην ἀφράστως, ἐν μήτρᾳ σου ἄχραντε.

Μετὰ τὴν β' Στιχολογίαν. Κάθισμα.

Ἦχος πλ. α'. Τὸν συνάναρχον Λόγον.

Θεοχάρην συμφώνως ἀνευφημήσωμεν, Νεομαρτύρων τὴν δόξαν τῶν ἀθλητῶν τε τιμήν, στρατιώτην τοῦ Χριστοῦ τὸν καρτερόψυχον· χαίροις βοῶντες πρὸς αὐτόν, ἡ τῆς πίστεως ἰσχύς, καὶ πύκτα τῆς ἀληθείας, ἣν καρδίας συγκαταθέσει, καθωμολόγησας γενναίᾳ φωνῇ.

Δόξα. Ὅμοιον.

Ἡ Νεάπολις χαίρει ἐν σοὶ Θεόχαρες, ἡ Μικρασία τε πᾶσα ἐπισκιρτᾷ μητρικῶς, ἑορτάζουσα φαιδρῶς τὴν θείαν μνήμην σου· ἔνθα ἐνήθλησας στεῤῥῶς, ἐλιθάσθης ἀπηνῶς, εἰς λεύκην τε ἐκρεμάσθης, μετὰ δόξης τε προσετέθης, Νεομαρτύρων τοῖς τιμίοις χοροῖς.

Καὶ νῦν. Τῆς ἑορτῆς. Ὅμοιον.

Μεταστᾶσα Παρθένε εἰς τὰ βασίλεια, τοῦ παραδείσου παρέστης μετὰ τιμῆς μητρικῆς, τῷ Υἱῷ σου καὶ Θεῷ καθικετεύουσα· ἐν εὐπροσδέκτοις ἱλασμοῖς, τῷ λαῷ σου τὴν αὐτοῦ, χρηστότητα ἐπιδεῖξαι, καὶ σωθῆναι τοὺς εὐλογοῦντας, τὴν πανασοίδιμόν σου κοίμησιν.

## Μετὰ τὸν Πολυέλεον.

### Κάθισμα. Ἦχος δʹ. Κατεπλάγη Ἰωσήφ.

Οὐ πτοοῦμαι ἀπειλάς, τῶν ἀπηνῶν ἀγαρηνῶν, οὐ βασάνους δειλιῶ, οὐδὲ σαρκὸς τὰ ἀλγεινά, ἀπὸ Κυρίου χωρίσουσι τοῦ Θεοῦ μου. Ἔχω γὰρ αὐτὸν δυναμοῦντά με, ὅθεν καρτερῶ τὰ ἐπίπονα· καὶ προσδοκῶ ζωῆς κληρονομίαν, ὁ Θεοχάρης ἐκραύγαζεν, σταδίου μέσῳ, τῶν παρανόμων, τὸν Χριστὸν μεγαλύνας.

### Δόξα. Ὅμοιον.

Ὡς ἀδάμας χαλκευθείς, ἐν ταῖς βασάνοις ταῖς πικραῖς, οὐκ ἐκάμφθη οὐδαμῶς, ὁ Θεοχάρης τοῦ Χριστοῦ, ὁ καρτερόφρων καὶ ἔνδοξος Νεομάρτυς. Σθένος τοῦ Σταυροῦ ἐνδυσάμενος, ἔθραυσεν ἐχθροῦ τὰ φρυάγματα· καὶ νικητὴς ἐξῆλθε τροπαιοῦχος, διατρανῶν ἀληθέστατα· Χριστοῦ τὴν πίστιν, ἧς καὶ τὸν δρόμον, ἀπροσκόπτως διέβη.

### Καὶ νῦν. Θεοτοκίον. Τῆς ἑορτῆς. Ὅμοιον.

Τῷ φωτὶ τῷ νοητῷ, μυσταγωγούμενοι πιστοί, μεγαλύνωμεν ᾠδαῖς, τῆς Θεοτόκου Μαριάμ, τὴν πανοίδιμον κοίμησιν ἐκβοῶντες· Χαίροις τοῦ φωτὸς Μήτηρ ἄφθορε, πύλη τῆς ζωῆς ἀδιόδευτε· τὰς τῆς ζωῆς εἰσόδους Παναγία, τῇ ἐκδημίᾳ σου ἤνοιξας· ἡμῖν εὐθέτως ὁδοποιοῦσα, σωτηρίας τὴν τρίβον.

www.tezaurliturgic.ro

Εἶτα τὸ Α' Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ' Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ με πάθη· ἀλλ' αὐτὸς ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ Ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς ἁγίοις Αὐτοῦ.

Στίχος· Τοῖς ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

Εὐαγγέλιον τοῦ Ὄρθρου (Μαρτυρικόν)
Ὁ Ν' Ψαλμός.

Δόξα.

www.tezaurliturgic.ro

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν.

Ταῖς τῆς Θεοτόκου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ. Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἰδιόμελον. Ἦχος α΄.

Ἀθλοφορικὴ πανήγυρις ἡμᾶς συνήγαγεν, ὑμνῆσαι ᾄσμασιν ἐνθέοις, τὰ τρόπαια τοῦ γενναίου Νεομάρτυρος, Θεοχάρους τοῦ Νεαπολίτου. Οὗτος γὰρ Χριστοῦ τοῦ Θεοῦ, τὸ μέγα ὄνομα ὁμολογήσας, ὡς ἀδάμας ὑπέμεινε τὰς βασάνους τὰς πικράς, τῇ τοῦ Σταυροῦ δυνάμει κραταιούμενος. Διὸ καὶ νικητὴς ἐξῆλθε, τῆς χαρᾶς τῆς ἀληθινῆς λαβὼν τὴν ἀπόλαυσιν, καὶ τοῦ ἀλήκτου φωτὸς τῆς Ἀναστάσεως, εἰς τοὺς αἰῶνας μετὰ πάντων τῶν ἁγίων κοινωνὸς παρίσταται.

Ὁ ἱερεύς· Σῶσον ὁ Θεὸς τὸν λαόν σου..
Καὶ ἀρχόμεθα τῶν Κανόνων.
Τῆς ἑορτῆς.

Ποίημα Ἰωάννου τοῦ Δαμασκηνοῦ.
Ὠδὴ α΄. Ἦχος δ΄. Ὁ Εἱρμός.

www.tezaurliturgic.ro

Ἀνοίξω τὸ στόμα μου, καὶ πληρωθήσεται Πνεύματος, καὶ λόγον ἐρεύξομαι τῇ Βασιλίδι Μητρί· καὶ ὀφθήσομαι, φαιδρῶς πανηγυρίζων, καὶ ᾄσω γηθόμενος, ταύτης τήν Κοίμησιν.

Παρθένοι νεάνιδες, σὺν Μαριὰμ τῇ Προφήτιδι, ᾠδὴν τὴν ἐξόδιον, νῦν ἀλαλάξατε· ἡ Παρθένος γάρ, καὶ μόνη Θεοτόκος, πρὸς λῆξιν οὐράνιον, διαβιβάζεται.

Ἀξίως ὡς ἔμψυχον, σὲ οὐρανὸν ὑπεδέξαντο, οὐράνια Πάναγνε, θεῖα σκηνώματα· καὶ παρέστηκας, φαιδρῶς ὡραϊσμένη, ὡς νύμφη πανάμωμος, τῷ Βασιλεῖ καὶ Θεῷ.

Εἶτα ὁ Κανὼν τοῦ Νεομάρτυρος.
Ἦχος καὶ εἱρμός. Ὁ αὐτοί.
Οὗ ἡ ἀκροστιχίς·

«Θεοχάρην τὸν Νεαπολίτην ᾄδω. Ἰσιδώρας»

Ὠδὴ α΄. Ἀνοίξω τὸ στόμα μου.

Θαυμάζω γηθόμενος, τὰ ἱερά σου παλαίσματα, καὶ ᾄδω τοὺς ἄθλους σου, καὶ τὴν ἐν πίστει σπουδήν· ἣν ἐτήρησας, ἀκμαίαν ἄχρι τέλους, ἀθλήσας στεῤῥότατα, Μάρτυς Θεόχαρες.

Ἑόρτιον αἴνεσιν, ἐν πανηγύρει λαμπρότητος, Θεόχαρες ᾄδει σοι, ἡ ἐκκλησία Χριστοῦ· ἐξαιρέτως τε, Νεάπολις καυχᾶται, ὡς μήτηρ σοι πλέκουσα, τὰ βραβευτήρια.

Ὁπλίτα ἀήττητε, τῆς τοῦ Χριστοῦ παρατάξεως, Θεόχαρες ἔνδοξε, ἐν τοῖς ἐσχάτοις καιροῖς· ἐκαρτέρησας, ἀθλήσεως τοὺς πόνους, τῷ σθένει τῆς πίστεως, ἐνδυναμούμενος.

Θεοτοκίον.

Χαρίτων θησαύρισμα, καὶ ἀγαθῶν τὸ κεφάλαιον, σὺ εἶ ἀληθέστατα, Θεοκυῆτορ Ἁγνή· ὅθεν ᾄδομεν, τὸ χαῖρε σοι συμφώνως, χαρᾶς γὰρ τὸ πλήρωμα, δίδως πληρέστατα.

Ὠδὴ γ΄. Τῆς ἑορτῆς. Ὁ εἱρμός.

Τοὺς σοὺς ὑμνολόγους Θεοτόκε, ὡς ζῶσα καί ἄφθονος πηγή, θίασον συγκροτήσαντας, πνευματικὸν στερέ»ωσον· καὶ ἐν τῇ θείᾳ μνήμῃ σου, τῇ σεπτῇ κοιμήσει σου, στεφάνων δόξης ἀξίωσον.

Θνητῆς ἐξ ὀσφύος προαχθεῖσα, τῇ φύσει κατάλληλον Ἁγνή, τὴν ἔξοδον διήνυσας· τεκοῦσα δὲ τὴν ὄντως ζωήν, πρὸς τὴν ζωὴν μεθέστηκας, τὴν θείαν καὶ ἐνυπόστατον.

Δῆμος Θεολόγων ἐκ περάτων, ἐξ ὕψους Ἀγγέλων δὲ πληθύς, πρὸς τὴν Σιὼν ἠπείγοντο, παντοδυνάμῳ νεύματι, ἀξιοχρέως Δέσποινα, τῇ σῇ ταφῇ λειτουργήσοντες.

Τοῦ ἁγίου. Ὅμοια.

Ἀνδρείᾳ σου γνώμῃ ἀπτοήτως, τὰ ἄλγη ὑπέμεινας σαρκός, Θεόχαρες πανεύφημε, Νεαπολίτα ἔνδοξε· καὶ ὡς ἀδάμας

ἔμεινας, ἐν ταῖς βασάνοις ἀλύγιστος.

Ῥωννύμενος σθένει ἀοράτῳ, τοῦ θείου Θεόχαρες Σταυροῦ, ἐνίκησας τὰς φάλαγγας, ἀγαρηνῶν καὶ ἔθραυσας· τὰ τῶν δαιμόνων ἔνεδρα, Θεὸν δοξάσας τοῖς ἄθλοις σου.

Ἡλίου λαμπρότερον ἐπέστη, ἡ μνήμη Θεόχαρες ἡ σή, τὸ σκότος ἐκδιώκουσα, τῆς ζοφερᾶς κακώσεως· καὶ τὴν χαρὰν παρέχουσα, τῆς ἱερᾶς σου ἀθλήσεως.

Θεοτοκίον.

Ναὸς καὶ παλάτιον τῆς δόξης, νυμφὼν τε ἐδείχθης τοῦ φωτός, Παρθενομῆτορ Ἄχραντε, ὑπερφυῶς βαστάσασα· ἐν καθαρᾷ νηδύϊ σου, τὸν βασιλέα τοῦ σύμπαντος.

Συναπτὴ ὑπὸ τοῦ ἱερέως.

Μεθ᾽ ἥν. Κάθισμα. Ἦχος πλ. δ΄. Τὴν Σοφίαν καὶ Λόγον.

Τῆς ἀνδρείας τὸν δόκιμον ἀθλητήν, καρτερίας τὸν πύκτην τὸν εὐσθενῆ, συμφώνως εὐφημήσωμεν, Θεοχάρην τὸν ἔνδοξον· τῆς Ἐκκλησίας στῦλον, στεῤῥὸν καὶ ἀσάλευτον· τὸν ἀκλινῶς βαδίσαντα, τὸν δρόμον τῆς πίστεως. Πόνους δριμυτάτους, τῇ σαρκὶ ὑπομείνας, τὴν πεῖναν τὴν δίψαν τε, τὰ δεσμὰ φυλακίσεως, καὶ τὰ βάρη τῶν θλίψεων. Ὅλην τὴν ἐλπίδα Θεῷ, καὶ ἀνεμπόδιστον ἔχων τὴν ἔφεσιν· διὸ ἔλαβε στέφος, τῆς ζωῆς τὸ ἀκήρατον.

Δόξα. Ὅμοιον.

Ἡ Νεάπολις χαίρει μητροπρεπῶς, Μικρασία τε πᾶσα ἐπισκιρτᾷ, τῇ θείᾳ πανηγύρει σου, Νεομάρτυς Θεόχαρες· Θεσσαλονίκη ἅμα, καυχᾶται τῷ πνεύματι· ὡς θησαυρόν κατέχουσα, τὰ θεῖα σου λείψανα. Ἔνθεν ἀναβλύζει, τῶν θαυμάτων ἡ χάρις, καὶ πάντες λαμβάνουσι, τὰς ἰάσεις ἑκάστοτε, οἱ ἐν πίστει τιμῶντές σε. Πρέσβευε Θεῷ ἐκτενῶς, τὴν ἀκεσώδυνον ῥῶσιν δωρήσασθαι, τοῖς γεραίρουσι πόθῳ, τὰ γενναῖά σου τρόπαια.

Καὶ νῦν. Τῆς Ἑορτῆς. Ὅμοιον.

Τῇ ἁγίᾳ Κοιμήσει σου Μαριάμ, μετὰ δέους ἑστῶτες οἱ γηγενεῖς, τὰ χείλη εἰς ἐπάξιον, ἑτοιμάζομεν αἴνεσιν· καὶ ἐκ καρδίας πόθου, σοὶ πλέκομεν ἔπαινον· τὰ θαυμαστὰ μυστήρια, σῆς δόξης δοξάζοντες· χαίροις ἐξαιρέτως, σοὶ Παρθένε βοῶντες, τοῦ Λόγου Κειμήλιον, οἰκουμένης τὸ στήριγμα τῶν πιστῶν τε ἀντίληψις. Στήριξον ἡμᾶς ἐν ὁδῷ, σὴν ἀπροσμάχητον ῥώμην παρέχουσα· καὶ ὁδήγησον πάντας, εἰς τὴν θείαν εὐθύτητα.

Ὠδὴ δʹ. Τῆς ἑορτῆς. Ὁ εἱρμός.

Τὴν ἀνεξιχνίαστον θείαν βουλήν, τῆς ἐκ τῆς Παρθένου σαρκώσεως, σοῦ τοῦ Ὑψίστου, ὁ Προφήτης Ἀββακούμ, »κατανοῶν ἐκραύγαζε· δόξα τῇ δυνάμει σου Κύριε».

Θάμβος ἦν θεάσασθαι τὸν οὐρανόν, τοῦ παμβασιλέως τὸν ἔμψυχον, τοὺς κενεῶνας, ὑπερχόμενον τῆς γῆς. Ὡς

θαυμαστὰ τὰ ἔργα σου! Δόξα τῇ δυνάμει σου Κύριε.

Ἐν τῇ Μεταστάσει σου Μῆτερ Θεοῦ, τὸ εὐρυχωρότατον σῶμά σου, καὶ θεοδόχον, τῶν Ἀγγέλων στρατιαί, ἱερωτάταις πτέρυξι, φόβῳ καὶ χαρᾷ συνεκάλυπτον.

Εἰ ὁ ἀκατάληπτος ταύτης καρπός, δι' ὃν οὐρανὸς ἐχρημάτισε, ταφὴν ὑπέστη, ἑκουσίως ὡς θνητός, πῶς τὴν ταφὴν ἀρνήσεται, ἡ ἀπειρογάμως κυήσασα;

Τοῦ ἁγίου. Ὁ καθήμενος ἐν δόξῃ.

Τὴν σπουδήν σου ἐν τῇ πίστει, Νεομάρτυς Θεόχαρες, τῶν Ἀγγέλων τάξεις, θείῳ θαυμασμῷ καταπλάγησαν, πῶς τῆς σαρκός σου παρεῖδες, τὴν εὐπάθειαν, καὶ ἐζήλωσας, τούτων τὸ θεῖον πολίτευμα.

Ὁλοτρόπῳ διανοίᾳ, καὶ ἐξ ὅλης καρδίας σου, τὸν Θεὸν τῶν ὅλων, ἔστερξας θεόφρον Θεόχαρες, καὶ τὰ τερπνὰ τὰ τοῦ βίου, παρωσάμενος, ἐπιδέδοσαι, μαρτυρικοῖς ἀγωνίσμασιν.

Νικητὴς τροπαιοφόρος, ἀνεδείχθης Θεόχαρες, ἐν σταδίῳ χαίρων, ἦλθες καὶ νομίμως γὰρ ἤθλησας, καὶ τοῦ Κυρίου τὸ κράτος, ὡμολόγησας, καὶ ἐδόξασας, τούτου τὸ ἅγιον Ὄνομα.

Θεοτοκίον.

Νεκρωθέντας παραβάσει, καὶ φθορᾷ ὑποκύψαντας, τοὺς ἀνθρώπους πάλιν, Κόρη Μαριὰμ ἀνεζώωσας, ὡς τὸν Θεὸν ἀπειράνδρως, ἀποτέξασα, τὸν δωρούμενον, πᾶσι ζωὴν τὴν αἰώνιον.

## ᾨδὴ ε΄. Τῆς ἑορτῆς. Ὁ εἱρμός.

Ἐξέστη τὰ σύμπαντα, ἐπὶ τῇ θείᾳ δόξῃ σου· σὺ γὰρ ἀπειρόγαμε Παρθένε, γῆθεν μετέστης πρὸς αἰωνίους »μονάς, καὶ πρὸς ἀτελεύτητον ζωήν, πᾶσι τοῖς ὑμνοῦσί σε, »σωτηρίαν βραβεύουσα».

Κροτείτωσαν σάλπιγγες, τῶν Θεολόγων σήμερον· γλῶσσα δὲ πολύφθογγος ἀνθρώπων, νῦν εὐφημείτω· περιηχείτω ἀήρ, ἀπείρῳ λαμπόμενος φωτί· Ἄγγελοι ὑμνείτωσαν, τῆς Παρθένου τὴν κοίμησιν.

Τὸ σκεῦος διέπρεπε, τῆς ἐκλογῆς τοῖς ὕμνοις σου, ὅλος ἐξιστάμενος Παρθένε, ἔκδημος, ὅλος, ἱερωμένος Θεῷ, τοῖς πᾶσι θεόληπτος καὶ ὤν, ὄντως καὶ δεικνύμενος, Θεοτόκε πανύμνητε.

## Τοῦ ἁγίου. Ὅμοια.

Ἑόρτιον αἴνεσιν, προσᾴδει ἡ Νεάπολις· ταύτης τὸν υἱὸν ὑμνολογοῦσα, τὸν Θεοχάρην τὸν εὐκλεῆ ἀθλητήν, Μαρτύρων τὴν θείαν ἀπαρχήν, κλῆμα τὸ κατάκαρπον, τῆς Χριστοῦ τελειώσεως.

www.tezaurliturgic.ro

Ἀδάμαντος ἔσχηκας, στεῤῥότερον τὸ φρόνημα· πλέον τοῦ χαλκοῦ τε στομωτέραν, τὴν καρτερίαν τῆς εὐγενοῦς σου ψυχῆς, Θεόχαρες θεῖε Ἀθλητά, στῦλε ἀπερίτρεπτε, τῆς Χριστοῦ ἀγαπήσεως.

Πυργώματα ἔθραυσας, τῆς πλάνης τὰ ἀνίσχυρα· ἔχων τοῦ Σταυροῦ τὴν συμμαχίαν, καὶ πυγμαχήσας κατ' ἐναντίων ἐχθρῶν, ἠρίστευσας νίκης τε λαμπρᾶς, ἔστησας τὰ τρόπαια, στεφανίτα Θεόχαρες.

Θεοτοκίον.

Οὐράνιοι Ἄγγελοι, ἐξέστησαν τῷ τόκῳ σου· Κόρη ἀπειρόγαμε Μαρία, σὺ γὰρ ἐν μήτρᾳ τὸν ποιητὴν τοῦ παντός, ἐκύησας ἄνευθεν σπορᾶς, ὅλην τὴν ἁγνείαν σου, ἀσινῆ τε ἐφύλαξας.

Ὠδὴ στ'. Τῆς ἑορτῆς.

Τὴν θείαν ταύτην καὶ πάντιμον, τελοῦντες ἑορτὴν οἱ θεό»φρονες, τῆς Θεομήτορος, δεῦτε τὰς χεῖρας κροτήσωμεν, »τὸν ἐξ αὐτῆς τεχθέντα Θεὸν δοξάζοντες».

Ἐκ σοῦ ζωὴ ἀνατέταλκε, τὰς κλεῖς τῆς παρθενίας μὴ λύσασα· πῶς οὖν τὸ ἄχραντον, ζωαρχικόν τέ σου σκήνωμα, τῆς τοῦ θανάτου πείρας, γέγονε μέτοχον;

Ζωῆς ὑπάρξασα τέμενος, ζωῆς τῆς ἀϊδίου τετύχηκας· διὰ θανάτου γάρ, πρὸς τὴν ζωὴν μεταβέβηκας, ἡ τὴν ζωὴν

τεκοῦσα τὴν ἐνυπόστατον.

Τοῦ ἁγίου. Ὅμοια.

Λαμπὰς ὡς θεία καὶ ἄσβεστος, Θεόχαρες φαιδρύνεις τὰ πέρατα, τοῖς θείοις ἄθλοις σου, καὶ ἱλαρύνεις ἐν χάριτι, τὰς ψυχικὰς αἰσθήσεις τῶν εὐφημούντων σε.

Ἰδοὺ βοᾷ ἡ Νεάπολις, υἱόν μου τῷ Κυρίῳ προσήγαγον, ὡς ὁλοκάρπωμα, μαρτυρικῆς τελειώσεως, τὸν Θεοχάρην ἄρτι τὸν περιώνυμον.

Τηρῶν ἐτήρεις Θεόχαρες, τὸν λόγον τοῦ Κυρίου τὸν λέγοντα, ὅστις δουλεύσει μοι, ἐν ἀγαθότητι λήψεται, τῆς αἰωνίου δόξης μισθὸν ἀντάξιον.

Θεοτοκίον.

Ἡ σὴ γαστὴρ ἀναδέδεικται, Παρθένε Παναγία Πανάχραντε, Θεοῦ παλάτιον, καὶ κιβωτὸς ἁγιάσματος, τῶν οὐρανίων θρόνων ὑψηλοτέρα τε.

Κοντάκιον. Ἦχος δʹ. Ἐπεφάνης σήμερον.

Θεοχάρους ᾄσωμεν Νεαπολίτου, τὰ μεγάλα τρόπαια, καὶ ἀριστείας τὰς λαμπράς, ἃς ἐν σταδίῳ ἐπέδειξεν· ἐγκαρτερήσας, βασάνων δριμύτητα.

www.tezaurliturgic.ro

## Ἕτερον. Ἦχος πλ. δʹ. Τῇ Ὑπερμάχῳ.

Νεομαρτύρων τοῦ Χριστοῦ τὸ σεμνολόγημα, Νεαπολίτην ἀθλητὴν ἀνευφημήσωμεν, μακαρίζοντες τὰς τούτου ἀνδραγαθίας, καὶ τὰ τρόπαια τῆς νίκης ἃ κατώρθωσεν, ἐναθλήσας ἐν σταδίῳ καρτερώτατα, οὕτω λέγοντες· Χαίροις Μάρτυς Θεόχαρες.

## Ὁ οἶκος.

Ἄκαμπτος τῇ ἀθλήσει, συνετὸς τῇ φρονήσει, γενναῖος τε τῇ πίστει ἐδείχθης, Θεόχαρες Χριστοῦ στρατιῶτα. Ἐν τῷ σταδίῳ οὖν ἀγωνισάμενος, ἐνίκησας ἐχθροῦ τὰ πανουργεύματα, διὸ καὶ παρ᾽ ἡμῶν ἀκούεις νῦν νικοποιοὺς ᾠδάς, βοώντων σοι ἀκαταπαύστως οὕτως·

Χαίροις ὁ δόκιμος ἐν παιδείᾳ·
χαίροις ὁ ἄλκιμος ἐν ἀνδρείᾳ.
Χαίροις ὁ τῆς εὐσεβείας ἀκριβέστατος κανών·
χαίροις ἡ τῆς ἀληθείας θεοτύπωτος εἰκών.
Χαίροις ὁ ὁμολογήσας τοῦ Θεοῦ τὴν βασιλείαν·
χαίροις ὁ καθυπομείνας τῶν βασάνων τὴν πικρίαν.
Χαίροις πείνης ὁ βαστάσας καὶ τῆς δίψης τὰ δεινά·
χαίροις ὁ ἐγκαρτερήσας φυλακίσεως δεσμά.
Χαίροις τῆς ἐχθρῶν μανίας γενναιόφρων καθαιρέτης·
χαίροις ὁ τῆς ἐκκλησίας τροπαιοῦχος στρατιώτης.
Χαίροις τῆς Θεσσαλονίκης Μικρασίας τε σφραγίς·
χαίροις ὦ Νεαπολίτα τῶν Μαρτύρων ἡ ἰσχύς.

## Χαίροις Μάρτυς Θεόχαρες.

### Συναξάριον

Τῇ εἰκοστῇ τοῦ αὐτοῦ μηνός (Αὐγούστου) ἑορτὴν ποιούμεθα, τὴν μνήμην ἐπιτελοῦντες τοῦ ἁγίου Νεομάρτυρος Θεοχάρους τοῦ Νεαπολίτου, τοῦ λίθοις καὶ ἀγχόνῃ τελειωθέντος ἐν ἔτει 1740.

### Στίχοι·

Ἤσχυνας ἀγαρηνῶν τὰ θράση σῇ ἐνστάσει,
Νεομάρτυς τοῦ Χριστοῦ Θεόχαρες γενναῖε.

Ἕτεροι.

Χαίρει σοι Θεόχαρες Νεάπολις ὡς Μήτηρ,
Θεσσαλονίκη τε σκιρτᾷ λειψάνων σου τῷ πλούτῳ.
Εἰκάδι λιθοβοληθεὶς ὁ μάρτυς Θεοχάρης,
ζωὴν εἰς ἀτελεύτητον ἦλθε Θεὸν δοξάζων.

Ταῖς αὐτοῦ ἁγίαις πρεσβείαις, Χριστὲ ὁ Θεὸς ἡμῶν, καὶ ἡμᾶς τῇ πίστει σου στερέωσον καὶ σῶσον τὰς ψυχὰς ἡμῶν, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος.

### Ὠδὴ ζ΄. Τῆς ἑορτῆς. Ὁ εἱρμός.

Οὐκ ἐλάτρευσαν, τῇ κτίσει οἱ θεόφρονες, παρὰ τὸν κτίσαντα· ἀλλὰ πυρὸς ἀπειλήν, ἀνδρείως πατήσαντες, »χαίροντες ἔψαλλον· Ὑπερύμνητε, ὁ τῶν πατέρων Κύριος, »καὶ Θεὸς εὐλογητὸς εἶ».

Νεανίσκοι, καὶ παρθένοι τῆς Παρθένου τε, καὶ Θεομήτορος, τὴν μνήμην σέβοντες, πρεσβῦται καὶ ἄρχοντες, καὶ βασιλεῖς σὺν κριταῖς, μελῳδήσατε· Ὁ τῶν πατέρων Κύριος, καὶ Θεὸς εὐλογητὸς εἶ.

Σαλπισάτωσαν, τῇ σάλπιγγι τοῦ Πνεύματος, ὄρη οὐράνια· ἀγαλλιάσθωσαν νῦν, βουνοί, καὶ σκιρτάτωσαν θεῖοι Ἀπόστολοι· ἡ Βασίλισσα, πρὸς τὸν Υἱὸν μεθίσταται, σὺν αὐτῷ ἀεὶ κρατοῦσα.

Ἡ πανίερος μετάστασις τῆς θείας σου, καὶ ἀκηράτου Μητρός, τὰ ὑπερκόσμια, τῶν ἄνω Δυνάμεων, ἤθροισε τάγματα, συνευφραίνεσθαι, τοῖς ἐπὶ γῆς σοι μέλπουσιν· ὁ Θεὸς εὐλογητὸς εἶ.

Τοῦ ἁγίου. Ὅμοια.

Νηπιόφρονα, ἀπάτην ἀπεμώρανας, Μάρτυς Θεόχαρες· τοῦ παλαιοῦ πτερνιστοῦ, τῷ σθένει τῆς πίστεως, ἀγωνισάμενος· καὶ ἐδόξασας, τοῖς ὑπερθέοις ἄθλοις σου, τὸν Θεὸν τὸν ἐν Τριάδι.

Ἀδαμάντινον, τὸ φρόνημα Θεόχαρες, τὸ τῆς καρδίας σου· ἡ ψυχική σου πυγμή, ὡσαύτως ἀκλόνητος, καὶ ἀκατάσειστος· ὅθεν ἔθραυσας, ἀγαρηνῶν τὸ φρύαγμα, καὶ ὀφρὺν τὴν ἐπηρμένην.

Δῶρον ἔφερες, Κυρίῳ ἀγαλλόμενος, τὴν καρτερίαν σου· ἐν τοῖς δεσμοῖς φυλακῆς, τὰ ἄλγη τοῦ σώματος, θλίψεις βασάνων τε· καὶ ἐκραύγαζες, οὐδεὶς χωρίσαι δύναται, τῆς ἀγάπης τοῦ Χριστοῦ μου.

## Θεοτοκίον.

Ὡς ὑπέρκαλλον, τὸ κάλλος τοῦ προσώπου σου, Θεοχαρίτωτε· ὡς ἡ τιμή σου πολλή, ἡ δόξα ὡσαύτως σου, ὡς ὑπερένδοξος· ὑπερβαίνουσα, τὰ τῶν Ἀγγέλων τάγματα, ἀσυγκρίτως Θεοτόκε.

## Ὠδὴ η'. Τῆς ἑορτῆς. Ὁ εἱρμός.

Παῖδας εὐαγεῖς ἐν τῇ καμίνῳ, ὁ τόκος τῆς Θεοτόκου διεσώσατο, τότε μὲν τυπούμενος, νῦν δὲ ἐνεργούμενος, »τὴν οἰκουμένην ἅπασαν, ἀγείρει ψάλλουσαν· Τόν Κύριον »ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας».

Τὴν μνήμην σου ἄχραντε Παρθένε, Ἀρχαί τε καὶ Ἐξουσίαι σὺν Δυνάμεσιν, Ἄγγελοι Ἀρχάγγελοι, Θρόνοι Κυριότητες, τὰ Χερουβὶμ δοξάζουσι, καὶ τὰ φρικτὰ Σεραφίμ· ἀνθρώπων δὲ τὸ γένος ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὁ ξένως οἰκήσας Θεοτόκε, ἐν τῇ ἀχράντῳ νηδύϊ σου σαρκούμενος, οὗτος τὸ πανίερον, πνεῦμά σου δεξάμενος, ἐν ἑαυτῷ κατέπαυσεν, ὡς ὀφειλέτης Υἱός· διό σε τὴν Παρθένον ὑμνοῦμεν, καὶ ὑπερυψοῦμεν εἰς πάντας τοὺς αἰῶνας.

Ὢ τῶν ὑπὲρ ἔννοιαν θαυμάτων, τῆς ἀειπαρθένου καὶ Θεομήτορος! τάφον γὰρ οἰκήσασα, ἔδειξε παράδεισον· ᾧ παρεστῶτες σήμερον, χαίροντες ψάλλομεν· Τόν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε εἰς πάντας τοὺς αἰῶνας.

www.tezaurliturgic.ro

Τοῦ ἁγίου. Ὅμοια.

Ἰδὲ ἡ Νεάπολις κραυγάζει, υἱόν μου τὸν περιώνυμον προσφέρω σοι, Κύριε ὡς δώρημα· θείας ἀγαπήσεως, τὸν Θεοχάρην σήμερον, τὸν Νεομάρτυρα· ἀντίδος μοι ἐλέους τὴν χάριν, τούτου ταῖς ἀπαύστοις, καὶ θείαις ἱκεσίαις.

Σθένος τοῦ Σταυροῦ ἐνδεδυμένος, πρὸς πάλην τῶν ἀντιθέων προσεχώρησας, ἔνδοξε Θεόχαρες· πίστεως ὑπέρμαχε, καὶ τὸν Θεὸν ἐδόξασας, τὸν ἀθλοθέτην σου· καὶ ἔλαβες τῆς νίκης τὸ στέφος, τῶν Νεομαρτύρων, λαμπρύνας τὰς χορείας.

Ἵππῳ προσδεθεὶς διὰ τὴν πίστιν, ἐσύρθη ὁ Θεοχάρης εἰς Νεάπολιν, ἔνθα καὶ ἐδέξατο, ἄλγη πολυώδυνα, ἀλλ' εὐχαρίστως ἔκραξεν, ἀγαλλιώμενος· τὸν Κύριον ὑμνεῖτε τὰ ἔργα, καὶ ὑπερυψοῦτε, εἰς πάντας τοὺς αἰῶνας.

Θεοτοκίον.

Δίψα παλαιὰ τῶν προπατόρων, ἐσβέσθη καὶ εὐφροσύνης ἀπελάβομεν, ἅπαντες τὸ πλήρωμα· καὶ τῆς δικαιώσεως, καὶ βασιλείας μέτοχοι, ἡμεῖς γεγόναμεν· τῷ τόκῳ σου Παρθένε Μαρία, ὃν ὑπερυψοῦμεν, εἰς πάντας τοὺς αἰῶνας.

ᾨδὴ θ'. Τῆς ἑορτῆς.
Μεγαλυνάριον.

www.tezaurliturgic.ro

ϡ/ Ἄγγελοι τὴν Κοίμησιν τῆς Παρθένου, ὁρῶντες ἐξεπλήττοντο, πῶς ἡ Παρθένος ἀπαίρει, ἀπὸ τῆς γῆς εἰς τὰ ἄνω.

Ὁ εἱρμός.

ϛ/ Ἅπας γηγενής, σκιρτάτω τῷ πνεύματι, λαμπαδουχούμενος· πανηγυριζέτω δέ, ἀΰλων νόων φύσις γε»ραίρουσα, τὴν ἱερὰν μετάστασιν, τῆς Θεομήτορος, καὶ »βοάτω· Χαίροις παμμακάριστε, Θεοτόκε ἁγνὴ ἀειπάρθενε».

Δεῦτε ἐν Σιών, τῷ θείῳ καὶ πίονι, ὄρει τοῦ ζῶντος Θεοῦ, ἀγαλλιασώμεθα, τὴν Θεοτόκον ἐνοπτριζόμενοι· πρὸς γὰρ τὴν λίαν κρείττονα, καὶ θειοτέραν σκηνήν, ὡς Μητέρα, ταύτην εἰς τὰ ἅγια, τῶν ἁγίων Χριστὸς μετατίθησι.

Δεῦτε οἱ πιστοί, τῷ τάφῳ προσέλθωμεν, τῆς Θεομήτορος, καὶ περιπτυξώμεθα, καρδίας χείλη ὄμματα μέτωπα, εἰλικρινῶς προσάπτοντες· καὶ ἀρυσώμεθα, ἰαμάτων, ἄφθονα χαρίσματα, ἐκ πηγῆς ἀενάου βλυστάνοντα.

Δέχου παρ᾽ ἡμῶν, ᾠδὴν τὴν ἐξόδιον, Μῆτερ τοῦ ζῶντος Θεοῦ· καὶ τῇ φωτοφόρῳ σου, καὶ θείᾳ ἐπισκίασον χάριτι· τῷ βασιλεῖ τὰ τρόπαια, τῷ φιλοχρίστῳ λαῷ, τήν εἰρήνην, ἄφεσιν τοῖς μέλπουσι, καὶ ψυχῶν σωτηρίαν βραβεύουσα.

Τοῦ ἁγίου. Ὅμοια.

Στίχος· Μεγάλυνον ψυχή μου θεῖον Θεοχάρην, τὸν Νεαπολίτην, τῆς πίστεως ὁπλίτην.

Ὥσπερ ἀπαρχήν, τιμίας ἀθλήσεως, Χριστῷ προσήγαγεν· ἄρτι ἡ Νεάπολις, τὸν Θεοχάρην τὸν Νεομάρτυρα, καὶ τῆς χαρᾶς ἀπέλαβε, τὰ πρωτοτόκια, ἐκβοῶσα· δεῦτε μοι συγχάρητε, Μικρασίας αἱ πόλεις τε ἅπασαι.

Στίχος· Μεγάλυνον ψυχή μου τῶν Νεομαρτύρων, βάσιν καὶ κρηπίδα, τὸν θεῖον Θεοχάρην.

Ῥείθροις τῶν σεπτῶν, καὶ θείων αἱμάτων σου, μάρτυς Θεόχαρες· ἔσβεσας τὴν κάμινον, ἐχθρῶν ἀθέων τῶν διωκόντων σε, καὶ δροσισμὸν τῆς χάριτος, ἀναπηγάσας τε, τὸν πολύχουν, στάχυν ἐναπέδωκας, τῆς τελείας Χριστοῦ ἀγαπήσεως.

Στίχος· Μεγάλυνον ψυχή μου πλοῦτον Μικρασίας, καὶ Θεσσαλονίκης, τὸν θεῖον Θεοχάρην.

Ἄγαν θαυμασμῷ, θαυμάζων Θεόχαρες, μάρτυς πολύαθλε· τὰ ἀνδραγαθήματα, τοὺς θείους ἄθλους καὶ τὰ παλαίσματα, ἃ εὐκλεῶς κατώρθωσας, ἀγωνιζόμενος, τῇ δυνάμει, τοῦ στρατολογήσαντος, Ἰησοῦ σε καλῶς, ὃν ἐδόξασας.

Θεοτοκίον.

Στίχος· Μεγάλυνον ψυχή μου, τὴν ἐν οὐρανίοις, τόποις μεταστᾶσαν, Μαρίαν Θεοτόκον.

Σοὶ μετὰ χαρᾶς, τὸ χαῖρε προσᾴδομεν, ἀγαλλιώμενοι· Χαῖρε ἀειπάρθενε, χαρίτων θείων πλῆρες κεφάλαιον, ἡ τῆς ἀρᾶς ἀναίρεσις, καὶ ἐπανόρθωσις, εὐφροσύνης, πέλαγος ἀκένωτον, αἰωνίου ζωῆς τε ἡ πρόξενος.

## Ἐξαποστειλάρια.

Ἦχος γʹ. Ὁ οὐρανὸν τοῖς ἄστροις.

Ὡς προσφορὰν τιμίαν, καὶ εὐαπόδεκτον Θεῷ, ἄρτι Νεάπολις ἄγει, τὸν Θεοχάρην τὸν κλεινόν, Νεομαρτύρων τὸ κλέος, τῆς Μικρασίας τὸν λύχνον.

Ἕτερον. Ὅμοιον

Διὰ τὴν θείαν πίστιν, Μάρτυς Θεόχαρες Χριστοῦ, τὰ ἀλγεινὰ ἐδέξω, καὶ τὰ δεσμὰ τῆς φυλακῆς, ἀναβοῶν ὡς ὁ Παῦλος, οὐδὲν Θεοῦ με χωρίσῃ.

Καὶ τῆς ἑορτῆς. Ὁμόηχον (Αὐτόμελον).

Ἀπόστολοι ἐκ περάτων, συναθροισθέντες ἐνθάδε, Γεθσημανῇ τῷ χωρίῳ, κηδεύσατέ μου τὸ σῶμα· καὶ σὺ Υἱὲ καὶ Θεέ μου, παράλαβέ μου τὸ πνεῦμα.

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΟΥΣ ΑΙΝΟΥΣ.

Ἱστῶμεν στίχους δ΄.
Καὶ ψάλλομεν στιχηρὰ προσόμοια.
Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Συμφώνως αἰνέσωμεν πιστοί, Θεοχάρην σήμερον, τὸν εὐκλεῆ Νεομάρτυρα· αὐτοῦ ἐξαίροντες, τὴν στεῤῥὰν ἀνδρείαν, τῆς ψυχῆς τὸ εὔτονον, ἀγῶνας τοὺς μακρούς τε οὓς ἤνυσε, Θεοῦ τῇ χάριτι, ἐκνικήσας τὸν ἀντίπαλον, καὶ τρανώσας τὴν ἰσχὺν τῆς πίστεως.

Τὰ ἄλγη ὑπέμεινας σαρκός, εὐσθενῶς Θεόχαρες, ἀναβοῶν μετὰ πίστεως· οὐδεὶς χωρίσει με, τῆς Χριστοῦ ἀγάπης, οὐ λιμὸς οὐ κίνδυνος, οὐ θλίψεις οὐ δεσμὰ οὐδὲ βάσανοι, Αὐτῷ συντάσσομαι, ἄχρι τέλους τελειώσω τε, μαρτυρίου τὴν ὁδὸν τὴν εὔθετον.

Νεάπολις ἄγει μητρικῶς, ἑορτὴν χαρμόσυνον, τὸν Θεοχάρην γεραίρουσα· τὸν νέον μάρτυρα, συγκαλοῦσα πάντας, εἰς κοινὴν ἑστίασιν, τῆς θείας εὐφροσύνης καὶ χάριτος, καὶ τούτῳ νέμουσα, τὰ τῆς νίκης βραβευτήρια, καὶ ᾀσμάτων ἄνθη πρεπωδέστατα.

Τῶν λίθων ὑπέμεινας βολάς, ἀνδρικῷ φρονήματι, Νεαπολίτα Θεόχαρες· ὡς πάλαι Στέφανος, τῶν μαρτύρων πρῶτος, οὗ τὸν ζῆλον ἔσχηκας, εἰς λεύκην ἐκρεμάσθης τε ὕστερον, Χριστοῦ γενόμενος, τῆς ἐν ξύλῳ ἀναρτήσεως, κοινωνός τε καὶ τῆς δόξης μέτοχος.

Δόξα. Ἦχος α'.

Μετὰ δόξης ᾄσωμεν πιστοί, τὴν μνήμην σήμερον τοῦ ἐνδόξου Νεομάρτυρος, Θεοχάρους τοῦ Νεαπολίτου. Χαίροις λέγοντες αὐτῷ, τῶν καλῶν ἀγώνων πύκτα ἱκανέ, ἄκμων τῆς ὑπομονῆς, καὶ τῆς καρτερίας πύργε ἀκατάσειστε. Ὁ ἐν τῇ καμίνῳ τῶν θλίψεων, καὶ τῶν βασάνων δοκιμασθείς, καὶ λάμπων τοῦ χρυσίου καθαρώτερον. Πάντας τε ἁγιάζων καὶ εὐλογῶν, τοὺς προσκυνοῦντας τὰ χαριτόβρυτά σου λείψανα, ἅπερ ἔχει πλοῦτον ἱερόν, Θεσσαλονίκη νῦν ἡ μεγαλόπολις, μεγαλύνουσα Θεόν, τὸν σὲ μεγαλείοις θαυμαστοῖς κατακοσμήσαντα.

Καὶ νῦν. Ἦχος α'. Τῆς ἑορτῆς.

Τῆς ἀρρήτου συμφωνίας σου τὰς ὑμνῳδίας, ἐν τῇ κηδείᾳ σου πανύμνητε Θεοτόκε, Μῆτερ τῆς ζωῆς, ποία γλῶσσα γηγενῶν δύναται ἱκανῶς ἐκδιηγεῖσθαι; Ἢ τοῦ ψαλτηρίου τὸ ὄργανον, πῶς ἀποδώσει τῆς ὑπερκοσμίου σου ταφῆς, τὸ οὐρανοπρεπέστατον μελῴδημα; Ἄγγελοι γὰρ ἔψαλλον, ἃ ἡ Τριὰς οὐρανόθεν ὑπηγόρευεν, καὶ οἱ Ἀπόστολοι ἐκ τούτων διδασκόμενοι, παρεγένοντο ἰσοκρατοῦντες τὸ ξενήκουστον τοῦτο ποίημα, τοῦ παναγίου Πνεύματος. Ἡμεῖς δὲ νῦν βοῶμέν σοι, Θεοτόκε Μαριάμ, δόξα τοῖς ἀπείροις μεγαλείοις σου.

## ΔΟΞΟΛΟΓΙΑ ΜΕΓΑΛΗ

www.tezaurliturgic.ro

# ΕΙΣ ΤΗΝ ΛΕΙΤΟΥΡΓΙΑΝ.

Τυπικά, Μακαρισμοί. Ἐκ τοῦ Κανόνος γ´ καὶ στ´ ᾠδή.
Ἢ τὰ Ἀντίφωνα τῆς ἑορτῆς.
Ἀπόστολος. Εὐαγγέλιον. (Μαρτυρικά).

## Μεγαλυνάριον

Ἔλαμψας Θεόχαρες χρυσαυγής, ἥλιος καθάπερ Νεαπόλεως ἐκ λαμπρᾶς, καὶ Μικρὰν Ἀσίαν ὁμοῦ Θεσσαλονίκην, τῶν ἄθλων σου λαμπρύνεις, ταῖς ὡραιότησιν.

## Δίστιχα. Ἀκροτελεύτια.

Τῇ πίστει με στερέωσον Κυρίου Νεομάρτυς,
Θεόχαρες ἀήττητε θεῖε Νεαπολίτα,
βοᾷ σοι παρακλήσεσιν ἡ πένης Ἰσιδώρα,
τὸν ἐν ἐλέει πλούσιον Θεὸν ὅπως δοξάζω,
ᾧ πρέπει δόξα καὶ τιμὴ εἰς πάντας τοὺς αἰῶνας.
ΑΜΗΝ.

ΤΕΛΟΣ
ΘΕΩ ΤΩ ΤΡΙΣΑΓΙΩ ΤΕ
ΠΡΕΠΕΙ ΜΕΓΑΛΩΣΥΝΗ



www.tezaurliturgic.ro

# «ΠΑΡΑΚΛΗΤΙΚΟΣ ΚΑΝΩΝ» ΕΙΣ ΤΟΝ ΑΓΙΟΝ ΘΕΟΧΑΡΗΝ ΤΟΝ ΝΕΑΠΟΛΙΤΗΝ

**Τὸν ἐκ Μικρᾶς Ἀσίας, ἔνθα ἐμαρτύρησεν ἐν ἔτει 1740.**
**Οὗ ἡ ἱερὰ μνήμη ἐπιτελεῖται τὴν 20ὴν Αὐγούστου.**

Ποίημα Καθηγουμένης Ἰσιδώρας
Μοναχῆς Ἁγιεροθεϊτίσσης

Ὁ ἱερεύς:
Εὐλογητὸς ὁ Θεὸς ἡμῶν πάντοτε,
νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας, τῶν αἰώνων.

Ὁ ἀναγνώστης: Ἀμήν.

Ψαλμὸς ρμβ΄ (142)

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τὴν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου, εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καὶ μὴ εἰσέλθῃς εἰς κρίσιν μετὰ τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν Σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τὴν ψυχήν μου· ἐταπείνωσεν εἰς γῆν τὴν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς ὡς

νεκροὺς αἰῶνος, καὶ ἠκηδίασεν ἐπ᾽ ἐμὲ τὸ πνεῦμά μου, ἐν ἐμοὶ ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν Σου ἐμελέτων. Διεπέτασα πρὸς Σὲ τὰς χεῖράς μου· ἡ ψυχή μου ὡς γῆ ἄνυδρός Σοι. Ταχὺ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τὸ πνεῦμά μου. Μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου ἀπ᾽ ἐμοῦ, καὶ ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τὸ πρωῒ τὸ ἔλεός Σου ὅτι ἐπὶ Σοὶ ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδὸν ἐν ᾗ πορεύσομαι, ὅτι πρὸς Σὲ ἦρα τὴν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε· πρὸς Σὲ κατέφυγον· δίδαξόν με τοῦ ποιεῖν τὸ θέλημά Σου, ὅτι Σὺ εἶ ὁ Θεός μου. Τὸ πνεῦμά σου τὸ ἀγαθὸν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός Σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ Σου ἐξάξεις ἐκ θλίψεως τὴν ψυχήν μου καὶ ἐν τῷ ἐλέει Σου ἐξολοθρεύσεις τοὺς ἐχθρούς μου καὶ ἀπολεῖς πάντας τοὺς θλίβοντας τὴν ψυχήν μου· ὅτι ἐγὼ δοῦλός Σού εἰμι.

Καὶ εὐθὺς τό· Θεός Κύριος, ἐξ ἑκατέρων τῶν Χορῶν ὡς ἑξῆς:

Ἦχος δ'

Θεὸς Κύριος καὶ ἐπέφανεν ἡμῖν· εὐλογημένος ὁ ἐρχόμενος, ἐν ὀνόματι Κυρίου. (τετράκις)

Τὸ ἐπαναλαμβάνομεν ἀνὰ στίχον.

Στίχος α'. Ἐξομολογεῖσθε τῷ Κυρίῳ καὶ ἐπικαλεῖσθε τὸ ὄνομα τὸ ἅγιον αὐτοῦ.

Στίχος β'. Πάντα τὰ ἔθνη ἐκύκλωσάν με καὶ τῷ ὀνόματι Κυρίου ἠμυνάμην αὐτούς.

Στίχος γ'. Παρὰ Κυρίου ἐγένετο αὕτη καὶ ἔστι θαυμαστὴ ἐν ὀφθαλμοῖς ἡμῶν.

Κατόπιν τὰ Τροπάρια.

Ἦχος δ'. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ.

Παρὰ Θεοῦ χαριτωθεὶς μετὰ δόξης, τῶν ἀρετῶν τῇ θαυμαστῇ εὐπρεπείᾳ, ἐν προσευχαῖς προέκοψας, καὶ βίῳ σεμνῷ· εἶτα ὡς αἰχμάλωτος, εὑρεθεὶς οὐχ ἠρνήθης, Ὄνομα τὸ ἅγιον, τοῦ Δεσπότου τῶν ὅλων· ὁμολογήσας τοῦτο δὲ καλῶς, στέφος ἐδέξω, τῆς νίκης Θεόχαρες.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Ὅμοιον.

Ἐκ Νεαπόλεως Θεόχαρες Μάρτυς, ἐν τῆς δουλείας τοῖς καιροῖς ἀνεφάνης, καὶ Μικρασίαν ἅπασαν, φωτίσας λαμπρῶς· ἔδειξας τὴν δύναμιν, τοῦ Θεοῦ τὴν μεγάλην, ὅτι ἐκαρτέρησας, ἀνδρικῶς τὰς βασάνους· καὶ ἐπὶ λεύκης αὖθις κρεμασθείς, αἵματι θείῳ, τὴν πίστιν ἐσφράγισας.

Θεοτοκίον. Ὅμοιον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

www.tezaurliturgic.ro

Οὐ σιωπήσομέν ποτε, Θεοτόκε, τὰς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμὴ γὰρ σὺ προΐστατο πρεσβεύουσα, τίς ἡμᾶς ἐῤῥύσατο ἐκ τοσούτων κινδύνων; Τίς δὲ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν, Δέσποινα, ἐκ σοῦ· σοὺς γὰρ δούλους σώζεις ἀεί, ἐκ παντοίων δεινῶν.

## Ὁ Ἀναγνώστης.

## Ψαλμός ν' (50)

Ἐλέησόν με ὁ Θεὸς κατὰ τὸ μέγα ἔλεός Σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν Σου ἐξάλειψον τὸ ἀνόμημά μου.

Ἐπὶ πλεῖον πλῦνόν με ἀπὸ τῆς ἀνομίας μου καὶ ἀπὸ τῆς ἁμαρτίας μου καθάρισόν με.

Ὅτι τὴν ἀνομίαν μου ἐγὼ γινώσκω καὶ ἡ ἁμαρτία μου ἐνώπιόν μού ἐστι διαπαντός.

Σοὶ μόνῳ ἥμαρτον, καὶ τὸ πονηρὸν ἐνώπιόν Σου ἐποίησα· ὅπως ἂν δικαιωθῇς ἐν τοῖς λόγοις Σου, καὶ νικήσῃς ἐν τῷ κρίνεσθαί σε.

Ἰδοὺ γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου.

Ἰδοὺ γὰρ ἀλήθειαν ἠγάπησας· τὰ ἄδηλα καὶ τὰ κρύφια τῆς σοφίας Σου ἐδήλωσάς μοι.

Ῥαντιεῖς με ὑσσώπῳ, καὶ καθαρισθήσομαι· πλυνεῖς με καὶ ὑπὲρ χιόνα λευκανθήσομαι.

Ἀκουτιεῖς μοι ἀγαλλίασιν καὶ εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα.

Ἀπόστρεψον τὸ πρόσωπόν Σου ἀπὸ τῶν ἁμαρτιῶν μου, καὶ πάσας τὰς ἀνομίας μου ἐξάλειψον.

Καρδίαν καθαρὰν κτίσον ἐν ἐμοί, ὁ Θεός, καὶ πνεῦμα εὐθὲς ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.

Μὴ ἀποῤῥίψῃς με ἀπὸ τοῦ προσώπου Σου, καὶ τὸ πνεῦμά Σου τὸ Ἅγιον μὴ ἀντανέλῃς ἀπ' ἐμοῦ.
Ἀπόδος μοι τὴν ἀγαλλίασιν τοῦ σωτηρίου Σου, καὶ πνεύματι ἡγεμονικῷ στήριξόν με.
Διδάξω ἀνόμους τὰς ὁδούς Σου καὶ ἀσεβεῖς ἐπὶ Σὲ ἐπιστρέψουσι.
Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεὸς τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσά μου τὴν δικαιοσύνην Σου.
Κύριε, τὰ χείλη μου ἀνοίξεις καὶ τὸ στόμα μου ἀναγγελεῖ τὴν αἴνεσίν Σου.
Ὅτι, εἰ ἠθέλησας θυσίαν, ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις.
Θυσία τῷ Θεῷ πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην ὁ Θεὸς οὐκ ἐξουδενώσει.
Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τὴν Σιών, καὶ οἰκοδομηθήτω τὰ τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις θυσίαν δικαιοσύνης ἀναφορὰν καὶ ὁλοκαυτώματα.
Τότε ἀνοίσουσιν ἐπὶ τὸ θυσιαστήριόν Σου μόσχους.

Καὶ ἀρχόμενα τοῦ Κανόνος.
Οὗ ἡ ἀκροστιχίς:

«Θεοχάρους Νεαπολίτου τὴν πίστιν σέβω. Ἰσιδώρας».

Ἦχος πλ. δ'. Ὠδὴ α'. Ὑγρὰν διοδεύσας...
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Θεοῦ ἀγαπήσας τὰς ἐντολάς, καὶ ταύτας φυλάξας συνειδήσει ἐν καθαρᾷ, Θεὸν ὡμολόγησεν ἐμφρόνως· ὁ Θεοχάρης ὁ Μάρτυς ὁ ἔνδοξος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἑόρτιον αἴνεσιν μητρικῶς, προσάγει Κυρίῳ ἡ Νεάπολις ἐν χαρᾷ, καὶ πᾶσα ὁμοῦ ἡ Μικρασία· τοῦ Θεοχάρους τὴν μνήμην γεραίρουσα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Οὐράνιον βίον ἐνστερνησθείς, ἠρνήθης σαρκός σου ἀναπαύσεις καὶ ἡδονάς, καὶ ὅλῃ σπουδῇ σου ἐπεδόθης· ἐν προσευχαῖς ὦ Θεόχαρες πάνσοφε.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Χαρᾶς αἰωνίου τὰς ἀμοιβάς, ἐδέξω δικαίως ὦ Θεόχαρες ἐκ Θεοῦ, καὶ γὰρ ἐπὶ γῆς ἀνδρειοφρόνως· τοῦ Μαρτυρίου τὰς θλίψεις ὑπέμεινας.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγνεία καὶ τόκος ἐπὶ ταυτῷ, ἐν σοὶ Παναγία συνηρμόσθησαν ἀληθῶς, Θεὸν γὰρ τῶν ὅλων ἀπειράνδρως· μετὰ σαρκὸς ἐν τῷ κόσμῳ ἀπέτεκες.

Ὠδὴ γ΄. Οὐρανίας ἁψῖδος...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

www.tezaurliturgic.ro

Ῥαθυμίας τὸν ὄκνον, καὶ τὴν δεινὴν χαύνωσιν, ἔλιπες Θεόχαρες Μάρτυς, καὶ ἐπεζήλωσας, τὴν συνετὴν βιοτήν, μετὰ σπουδῆς εὐαρέστου, προσευχῆς γενόμενος, στῦλος ἀκλόνητος.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὀρφανίας τὰς θλίψεις, ἀπὸ παιδὸς ἔφερες, τῆς αἰχμαλωσίας ὀδύνας, καὶ τὰ φερέπονα, ἀνδρειοτάτῃ ψυχῇ, ὦ Νεομάρτυς γενναῖε, καὶ Θεοῦ Θεόχαρες, ἔγνως τὴν εὔνοιαν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὑλακτοῦσαν μανίαν, τῶν διωκτῶν ἤσχυνας, τῇ εἰρηνικῇ σου καρδίᾳ, Μάρτυς Θεόχαρες, καὶ τοῦ Θεοῦ τὰς ἀρχάς, καὶ ἐξουσίας ἐπέγνως, ἐφαρμόσας ἄριστα, βίον ἰσάγγελον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Συναυλίας Ἀγγέλων, ἐν οὐρανοῖς ἔλαχε, Μάρτυς Θεοχάρης πρεπόντως, ὅτι ὑπέμεινεν, ἐπὶ τῆς γῆς καρτερῶς, τῶν διωκόντων τὰς ὕβρεις, τῶν θρασυνομένων τε, τὴν ἰταμότητα.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Νυμφοστόλε Παρθένε, ὦ Μαριὰμ ἄχραντε, χαῖρέ σοι κραυγάζω ἀπαύστως, ἐπαγαλλόμενος, σὺ τῆς ἀρχαίας ἀρᾶς, τὴν συνακόλουθον λύπην, εἰς χαρὰν μετέτρεψας, καὶ ἀγαλλίασιν.

www.tezaurliturgic.ro

Ἐνίσχυσον, εἰς τοὺς ἀγῶνας τῆς πίστεως τῆς ἁγίας, τοὺς τιμῶντας πανευλαβῶς τὴν σὴν γενναιότητα, Θεόχαρες Μάρτυς Νεαπολίτα.

Ἐπίβλεψον, ἐν εὐμενείᾳ πανύμνητε Θεοτόκε, ἐπὶ τὴν ἐμὴν χαλεπὴν τοῦ σώματος κάκωσιν, καὶ ἴασαι τῆς ψυχῆς μου τὸ ἄλγος.

Ὁ Ἱερεὺς μνημονεύει.
Μεθ᾽ ὅ. Κάθισμα.
Ἦχος β'. Πρεσβεία θερμή...

Μεγάλῃ φωνῇ, τὴν πίστιν ὡμολόγησας, βαστάσας στεῤῥῶς, τῆς πείνης τὰ ἐπίπονα, φυλακὰς καὶ μάστιγας· καρτερόφρον Μάρτυς Θεόχαρες, Νεαπολίτα ὅθεν ἐκ Θεοῦ, ἐδέξω τῆς νίκης βραβευτήρια.

Ὠδὴ δ'. Εἰσακήκοα Κύριε...
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἐπὶ λεύκης κρεμάσαντες, τὸ καρτερικώτατον Μάρτυς σῶμα σου· ὢ Θεόχαρες εἰς ἄῤῥητα, ἡ ψυχή σου ἤρθη ἀξιώματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἀδαμάντινον φρόνημα, ἔχων ὢ Θεόχαρες ἀκατάσειστε· οὐχ ἐκάμφθης ἐν τῷ τύπτεσθαι, οὐ ποσῶς ἐν πόνοις ἐδειλίασας.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Πολεμίων τὰς φάλαγγας, σοῦ τῇ γενναιότητι ἐτραυμάτισας· καὶ δαιμόνων ὦ Θεόχαρες, τὰς ἐνέδρας Μάρτυς κατεγέλασας.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὁ Σταυρὸς ὁ πανάγιος, ὅπλον σοι ἐγένετο ἀκαταίσχυντον· προστασία καὶ ὀχύρωμα, ἐν καιρῷ τῶν ἄθλων σου Θεόχαρες.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Λυτρωθέντες τῷ τόκῳ σου, τῆς ἀρχαίας Πάναγνε κατακρίσεως· ἐν χαρᾷ ἐπαγαλλόμενοι, σοὶ τὸ χαῖρε πάντες ἀναμέλπομεν.

Ὠδὴ ε'. Φώτισον ἡμᾶς...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἵππῳ προσδεθείς, καὶ συρόμενος Θεόχαρες, ἐπεσπάσω τὴν συμπάθειαν Θεοῦ, ὃς ἐπὶ Ξύλου, προσηλώθη τῷ θελήματι.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τείνας κατὰ σοῦ, ὁ ἀλάστωρ ὦ Θεόχαρες, τεχνηέντως τῆς κακίας τὰ πυρά, τὴν καταισχύνην, καὶ τὴν ἧτταν ἀπεκόμισεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὄλβιος ἐστίν, παραστάτην ὅστις ἔχει σε, βοηθόν τε ὦ Θεόχαρες ἀεί, καὶ πρεσβευτὴν σε, τῷ Κυρίῳ εὐμενέστατον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ὕπερθεν λαβών, τὰ τοῦ Πνεύματος χαρίσματα, κατηξίωσαι Θεόχαρες χαρᾶς, τὴν τῶν Ἀγγέλων, πολιτείαν μιμησάμενος.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τίς ἐκ τῶν σοφῶν, καὶ ῥητόρων τὸ μυστήριον, τὸ ἀπόῤῥητον τοῦ τόκου σου Ἁγνή, Παρθενομῆτορ, ἑρμηνεῦσαι δυνηθήσεται.

Ὠδὴ στ΄. Τὴν δέησιν...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἠσθένησε, τοῦ ἐχθροῦ ἡ δύναμις, καὶ κατέῤῥευσεν αὐτοῦ ἡ μανία· τῇ κραταιᾷ, καὶ στεῤῥᾷ σου ἐνστάσει, ὦ πανοπλίτα Θεόχαρες ἔνδοξε· καὶ πάντες ἔγνωκαν καλῶς· τῶν πιστῶν τὰ λαμπρὰ κατορθώματα.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νεόφωτος, ὡς ἀστὴρ ἀνέτειλας, πανοαοίδιμε Θεόχαρες Μάρτυς· ἐκ τῆς Μικρᾶς, καὶ ἐνδόξου Ἀσίας, ἥτις καυχᾶται τοῖς θείοις στεφάνοις σου· Νεάπολίς τε μητρικόν· προσηκόντως προσφέρει σοι ἔπαινον.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Παιζόμενον, ὡς στρουθίον ἔδειξας, τοῦ ἐχθροῦ τὴν θηριώδη κακίαν· καὶ τὴν αὐτοῦ, ἐπηρμένην μωρίαν, τοῖς θεοσόφοις σου ἤλεγξας ῥήμασιν· ὡς δοῦλος γνήσιος Θεοῦ· ᾧ πιστῶς ἠκολούθης Θεόχαρες.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἰάσεων, ποταμὸς ἀκένωτος, τῶν λειψάνων σου ἡ πάντιμος θήκη· καὶ προχοή, τῶν θαυμάτων ἐδείχθη, τοῖς ἀσθενοῦσι τὴν ῥῶσιν παρέχουσα· καὶ χάριτας παντοδαπάς· ἀναβλύζουσα πᾶσι Θεόχαρες.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Στερέωμα, τῶν πιστῶν ἀκλόνητον, σὺ ὑπάρχεις Παναγία Παρθένε· ὅτι Θεόν, δυνατὸν ἐν ἰσχύϊ, ἐν ταῖς χερσί σου ὡς βρέφος ἐβάστασας· Αὐτὸν δυσώπει μητρικῶς· στερεοὺς ἡμᾶς δεῖξαι ἐν θλίψεσιν.

Ἐνίσχυσον, εἰς τοὺς ἀγῶνας τῆς πίστεως τῆς ἁγίας, τοὺς τιμῶντας πανευλαβῶς τὴν σὴν γενναιότητα, Θεόχαρες Μάρτυς Νεαπολίτα.

Ἄχραντε, ἡ διὰ λόγου τὸν Λόγον, ἀνερμηνεύτως, ἐπ᾽ ἐσχάτων τῶν ἡμερῶν τεκοῦσα, δυσώπησον, ὡς ἔχουσα μητρικὴν παῤῥησίαν.

Ὁ ἱερεὺς καὶ πάλιν μνημονεύει.

Μεθ᾿ ὅ. Κάθισμα. Ἦχος β΄.
Προστασία τῶν Χριστιανῶν...

Πρὸς τὸ σκάμμα τοῦ μαρτυρικοῦ ἀγωνίσματος, μετὰ θάῤῥους τοῦ ἀνδροπρεποῦς προσεχώρησας, ὡς γνησία τῶν ἀθλητῶν Θεόχαρες σφραγίς· Θεοῦ δύναμιν τὴν πανσθενῆ, ἀκαταπτώτῳ σου πυγμῇ, ἐμφανῶς ἐβεβαίωσας. Ἔπαινον οὖν ἐκτήσω, τῆς θείας ὁμολογίας ἐν πανηγύρει δὲ λαμπρᾷ, τῶν Ἁγίων νῦν παρίστασαι.

Εἶτα τὸ Α΄ Ἀντίφωνον τῶν Ἀναβαθμῶν τοῦ δ΄ Ἤχου.

Ἐκ νεότητός μου, πολλὰ πολεμεῖ μὲ πάθη· ἀλλ᾿ αὐτός ἀντιλαβοῦ, καὶ σῶσον, Σωτήρ μου (δίς).

Οἱ μισοῦντες Σιών, αἰσχύνθητε ἀπὸ τοῦ Κυρίου· ὡς χόρτος γάρ, πυρὶ ἔσεσθε ἀπεξηραμμένοι (δίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἁγίῳ Πνεύματι, πᾶσα ψυχὴ ζωοῦται, καὶ καθάρσει, ὑψοῦται, λαμπρύνεται, τῇ Τριαδικῇ μονάδι, ἱεροκρυφίως.

Θεοτοκίον.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἁγίῳ Πνεύματι, ἀναβλύζει τὰ τῆς χάριτος ῥεῖθρα, ἀρδεύοντα, ἅπασαν τὴν κτίσιν, πρὸς ζωογονίαν.

www.tezaurliturgic.ro

## Προκείμενον.

Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ.

Στίχος: Τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ αὐτοῦ ἐθαυμάστωσεν ὁ Κύριος.

## Εὐαγγέλιον (Μαρτυρικόν).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ταῖς τοῦ Ἀθλοφόρου πρεσβείαις Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ταῖς τῆς Θεοτόκου, πρεσβείαις, Ἐλεῆμον, ἐξάλειψον τὰ πλήθη τῶν ἐμῶν ἐγκλημάτων.

Στίχ.: Ἐλέησόν με ὁ Θεός, κατὰ τὸ μέγα ἔλεός σου, καὶ κατὰ τὸ πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τὸ ἀνόμημά μου.

## Προσόμοιον. Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι...

Χαίρων ὡμολόγησας, τὴν τοῦ Θεοῦ ἐξουσίαν, τοῖς ἐχθροῖς ἐνώπιον, ἀθλητὰ τῆς πίστεως ἀδαμάντινε· φυλακὴν πεῖναν τε, ῥαβδισμοὺς καὶ ἄλγη, ἐκαρτέρησας Θεόχαρες· δεθεὶς εἰς τράχηλον, λιθοβολισμοὺς καθυπέμεινας· ἀλλ' ἄθραυστος διέμεινεν, ἡ

θεοπειθὴς γενναιότης σου. Αἷμα σου ὡσαύτως, ἐξέχεας εἰς λεύκην κρεμασθείς, τὴν δὲ ψυχήν σου ὁλόλευκον, Κυρίῳ παρέδωκας.

Ὠδὴ ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Τῶν καλῶν σου ἀγώνων, τὰς γενναίας ἐνστάσεις καὶ τὰ παλαίσματα, τίς δύναται ἀξίως, ἐν ὕμνοις ἐπαινέσαι, ὦ Θεόχαρες ἔνδοξε· Νεομαρτύρων Χριστοῦ, ἡ θεία κοσμιότης.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἱερεῖον ἐδείχθης, τῷ Κυρίῳ Θεόχαρες πανευπρόσδεκτον, προθύμως γὰρ ὡς ζῶσαν, καὶ ἔμψυχον θυσίαν, τὸ σὸν αἷμα ἐξέχεας· καὶ δι' ἀγάπην αὐτοῦ, εἰς λεύκην ἐκρεμάσθης.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Νεαπόλεως πλήθη, Μικρασίας τε ἅμα μεγαλυνέσθωσαν, τοῦ Μάρτυρος τῇ μνήμῃ, τοῦ θείου Θεοχάρους, καὶ αὐτῷ ἐκβοάτωσαν· μὴ διαλίπῃς Θεῷ, πρεσβεύειν ὑπὲρ πάντων.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Σελασφόροις ἀκτῖσι, τοῦ σοῦ βίου φαιδρύνεις ἐν ἱλαρότητι, Θεόχαρες τὴν κτίσιν, καὶ πάντας ἐν αἰνέσει, παροτρύνεις τοῦ ψάλλειν σοι· ὡς θαυμαστὸς ὁ Θεός, Αὐτοῦ ἐν τοῖς Ἁγίοις.

Θεοτοκίον.
Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἐκ γαστρός σου ἁγίας, Παναγία Παρθένε ὁ Ὑπερούσιος, Θεός τὴν ἀνθρωπίνην, προσείληφεν οὐσίαν, καὶ βροτοῖς ἐδωρήσατο· υἱοθεσίας τιμήν, δι' ἄκραν εὐσπλαγχνίαν.

Ὠδὴ η'. Τὸν βασιλέα...
Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Βραβεῖα δόξης, τῆς αἰωνίου ἐκτήσω, ἀντὶ κόπων καὶ πόνων προσκαίρων, Μάρτυς στεφανίτα, Θεόχαρες γενναῖε.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὡς θαυμαστή σου, ἡ ἱερὰ πολιτεία, ἀθλοφόρε Θεόχαρες πέλει, σὺ γὰρ τοῦ χρυσίου, λαμπρότερον ἐκλάμπεις.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ἰδέαις πάσαις, τῶν ἀλγεινῶν προσεχώρεις, ἀπτοήτως Θεόχαρες Μάρτυς, σθένει ἀοράτῳ, Θεοῦ σὲ δυναμοῦντος.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Στοιχεῖα πάντα, τὰ φυσικὰ τῷ σῷ τέλει, ἀγριαίνουσαν ἔλαβον ὄψιν, φόβον τοῖς ὁρῶσι, Θεόχαρες ποιοῦντα.

www.tezaurliturgic.ro

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Ἰδοὺ σὲ πᾶσαι, αἱ γενεαὶ τῶν ἀνθρώπων, ὡς προεῖπας Παρθένε Μαρία, σὲ μακαριοῦσιν, εἰς πάντας τοὺς αἰῶνας.

Ὠδὴ θ'. Κυρίως Θεοτόκον...

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Δυνάσταις τοῖς ἀθέοις, ἔμπροσθεν εὐτόλμως, τῆς Παναγίας Τριάδος, τὴν μίαν ἀρχήν, ὁ Θεοχάρης γενναίως, καθωμολόγησεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ὠμότητι τυράννων, ἔδειξεν ἀκμαῖον, ὁ Θεοχάρης τὸ σθένος, ἀνδρείας ψυχῆς, καὶ ταῖς ποιναῖς τῶν βασάνων, οὐχ ἐδειλίασεν.

Ἅγιε τοῦ Θεοῦ πρέσβευε ὑπὲρ ἡμῶν.

Ῥεόντων καὶ προσκαίρων, ἤλλαξε προθύμως, ὡς νουνεχὴς καὶ ἐχέφρων, τῆς ἄνω ζωῆς, ὁ Θεοχάρης τὰ πλούτη, τὰ διαμένοντα.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι.

Ἀγάλλου καὶ εὐφραίνου, χάριτος γὰρ θείας, εὗρες Θεόχαρες δόξαν, ὡς δοῦλος πιστός, τοῦ Μαρτυρίου σου ἄθλοις, ταύτην τε ηὔξησας.

Θεοτοκίον.

Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Σοὶ πρέπει Θεοτόκε, ὕμνος κατ' ἀξίαν, σοὶ ἐξαιρέτως ἁρμόζει, τῆς δόξης τιμή, καί ἐν ᾠδαῖς ἐγκωμίων, σὲ μακαρίζομεν.

Καὶ εὐθύς, τό·

Ἄξιόν ἐστιν ὡς ἀληθῶς, μακαρίζειν σε τὴν Θεοτόκον, τὴν ἀειμακάριστον καὶ παναμώμητον καὶ μητέρα τοῦ Θεοῦ ἡμῶν. Τὴν τιμιωτέραν τῶν Χερουβεὶμ καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν· τὴν ὄντως Θεοτόκον σὲ μεγαλύνομεν.

Καὶ τὰ παρόντα Μεγαλυνάρια.
ὧν ἡ ἀκροστιχίς:
«Χαῖρε Νεομάρτυς».

Χαίροις τῆς ἀνδρείας ὁ ἑδρασμός, χαίροις καρτερίας ὁ ἀδάμας ὁ ἰσχυρός, Χαίροις Χριστομάρτυς Θεόχαρες γενναῖε, τῆς πίστεως ὁπλίτα, ἀκαταμάχητε.

Ἄνθεσιν ᾀσμάτων δεῦτε πιστοί, στέψωμεν συμφώνως Θεοχάρην τὸν ἀθλητήν, τούτου τοὺς μεγάλους ἀγῶνας εὐφημοῦντες· καὶ ἄθλων τὰ βραβεῖα, ἐγκωμιάζοντες.

Ἴσχυσας ὠλέσαι τοῦ δυσμενοῦς, τὰς ἐπαναστάσεις ὦ Θεόχαρες ἀθλητά, ἔχουν τοῦ Κυρίου Σταυρόν τὸν ζωηφόρον· ὡς ὅπλον ἐν πολέμοις, ἀκαταμάχητον.

www.tezaurliturgic.ro

Ῥόδον ἡδύπνόου προσαγωγῆς, ἤνεγκεν ἀξίως ἡ Νεάπολις τῷ Χριστῷ, θεῖον Θεοχάρην ἐν χρόνοις τῆς δουλείας· ψυχῆς ἐλευθερίαν, προσεπαγόμενος.

Ἔλαμψας Θεόχαρες χρυσαυγής, ἥλιος καθάπερ Νεαπόλεως ἐκ λαμπρᾶς, καὶ Μικρὰν Ἀσίαν σὺν πάσῃ Ἐκκλησίᾳ· τῶν ἄθλων σου λαμπρύνεις, ταῖς ὡραιότησιν.

Νέον σε ὡς Μάρτυρα εὐφημῶ, θεῖε στρατιῶτα ὦ Θεόχαρες τοῦ Χριστοῦ, καὶ τοὺς ἱερούς σου ἀγῶνας μεγαλύνω· οὓς ἤνυσας γενναίῳ, μάκαρ φρονήματι.

Ἕνα ἐν προσώποις τρισὶ Θεόν, σέβω καὶ λατρεύω συνδοξάζω καὶ προσκυνῶ, ἔκραζεν εὐτόλμως ὁ Μάρτυς Θεοχάρης· καὶ ψεύδη τῶν εἰδώλων, καταβδελύττομαι.

Ὄμματα καρδίας σου πρὸς Θεόν, ἦρας μετὰ δέους ἐν τῇ ὥρᾳ τῶν αἰκισμῶν, ὅθεν τῆς δειλίας τὴν πτόησιν οὐκ ἔγνως, ἀλλὰ ἔλαβες ὑψόθεν, σθένος Θεόχαρες.

Μάλα ἀγαπήσας τὸν Ἰησοῦν, κόσμου ἀπηρνήθης ὦ Θεόχαρες τὰς τρυφάς, ὕμνοις καὶ εὐχαῖς τε καλῶς οὖν ἐπεδόθης, τὸν τρόπον τῶν Ἀγγέλων, ἐκμιμησάμενος.

Ἄγαμαι τὸν τρόπον σου τὸν χρηστόν, σέβω καὶ θαυμάζω τοὺς ἀγῶνας σου τοὺς μακρούς, ἅμα μακαρίζω τοὺς ἄθλους σου τοὺς θείους· Θεόχαρες ὁπλῖτα, ἀξιοθαύμαστε.

www.tezaurliturgic.ro

Ῥείθροις τῶν αἱμάτων σου Ἀθλητά, ἤρδευσας τὴν λεύκην ἐφ' ἧς εὗρες τὴν τελευτήν, καὶ πολυπλασίως ἐξήνθησας τὸν στάχυν· Θεόχαρες τῆς θείας, ἀνταποδόσεως.

Τεῖχος ὡς ἀκλόνητον καὶ στεῤῥόν, ἔχει σῶν λειψάνων ὦ Θεόχαρες τὴν σορόν, ἡ Θεσσαλονίκη ἐξ ὧν καὶ ἀναβλύζει· θαυμάτων παραδόξων, χάρις πολύῤῥυτος.

Ὕβριν ὦ Θεόχαρες τῶν ἐχθρῶν, ἤσχυνας σοφίᾳ τῶν σῶν λόγων τῶν ἱερῶν, καὶ τῇ εὐπρεπείᾳ μορφῆς σου τῆς ἁγίας· ἐξέπληξας τοὺς γνόντας, σοῦ τό σεβάσμιον.

Σήμερον εὐφραίνονται ἐν ταυτῷ, γῆ καὶ οὐρανός τε Θεοχάρους τῇ ἑορτῇ, οὗτος γὰρ τὸ τέλος λαβὼν τοῦ Μαρτυρίου· τῆς ἄνω Βασιλείας, εὗρε τὴν ἄνεσιν.

Εἶτα·

Πᾶσαι τῶν Ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι Πάντες μετὰ τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν, εἰς τὸ σωθῆναι ἡμᾶς.

Ὁ Ἀναγνώστης·

Ἀμήν. Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς (τρίς).

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Παναγία Τριάς, ἐλέησον ἡμᾶς. Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν. Δέσποτα συγχώρησον τὰς ἀνομίας ἡμῖν. Ἅγιε, ἐπίσκεψαι καί ἴασθαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον. Κύριε, ἐλέησον. Κύριε, ἐλέησον.

Δόξα Πατρὶ καὶ Υἱῷ καὶ ἁγίῳ Πνεύματι. Καὶ νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου. Ἐλθέτω ἡ Βασιλεία σου. Γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τὸν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν. Καὶ μὴ εἰσενέγῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

Ἀπολυτίκιον. Ἦχος α'.
Τῆς ἐρήμου πολίτης...

Ὡς ἀκλόνητος στῦλος, Νεομάρτυς Θεόχαρες, ἔφερες τὰ ἄλγη, τὴν πεῖναν, φυλακάς τε καὶ μάστιγας· ἐδέθης ἐπ' ἀλόγου καὶ εἰς γῆν, ἐσύρθης δι' ἀγάπην τοῦ Χριστοῦ, ἐλιθάσθης ἐκρεμάσθης τελειωθείς, εἰς λεύκην τὴν τοῦ αἵματος. Χαίροις Νεαπολίτα Ἀθλητά, Χαίροις σφραγὶς τῆς πίστεως· Χαίροις Θεσσαλονίκης θησαυρέ, φωστὴρ Καππαδοκίας τε.

www.tezaurliturgic.ro

Ἐκτενὴς καὶ Ἀπόλυσις.
Πρὸ δὲ τοῦ δι᾽ εὐχῶν. Τὰ ἀκόλουθα:
Ἦχος β΄. Ὅτε ἐκ τοῦ Ξύλου...

Χαίροις ὦ Θεόχαρες στερρέ, πίστεως ἁγίας τὸ σθένος, ὁμολογίας φωνή, κήρυξ ἰσχυρόφωνε, τῆς ἀληθείας τε· καρτερίας ὁ στῦλος τε, ἀδάμας τῆς τόλμης, ὕψος τὸ περίβλεπτον, τῆς γενναιότητος. Χαίροις τῶν Μαρτύρων ἡ δόξα, τῆς Καππαδοκίας λαμπρότης, ὦ Νεαπολίτα τιμιώτατε.

Μάλα ἀγαπήσας τὸν Χριστόν, ἔφερες Θεόχαρες χαίρων, τὰ ἀλγεινὰ τῆς σαρκός, πεῖναν πολυήμερον, καὶ τὴν φυλάκισιν· ῥαβδισμούς τε καὶ μάστιγας, τραχήλου τὴν δέσιν, λίθων τὰ κτυπήματα, τὰ πολυώδυνα. Εἶτα ἐπὶ δένδρου τῆς λεύκης, εὗρες τὸ δι᾽ αἵματος τέλος, καὶ τὴν τῆς ζωῆς μακαριότητα.

Χαίρει ἡ Νεάπολις φαιδρῶς, πᾶσα Μικρασία σκιρτᾷ τε, μητροπρεπῶς καὶ καλεῖ, αἴνεσιν εἰς πάνδημον, τῆς γῆς τὰ πέρατα· Θεοχάρους τοῦ Μάρτυρος, τὴν μνήμην τιμῶσα, ἔχουσα ὡς καύχημα, αὐτοῦ τὰ ἔπαθλα. Ὅστις τοῦ Χριστοῦ τῇ δυνάμει, ἔθραυσε ἐχθροῦ τὰς παγίδας, καὶ τῆς νίκης ἔλαβε τὸν στέφανον.



Δίστιχα. Ἀκροτελεύτια.

Θεοῦ τὴν χάριν δίδου μοι Θεόχαρες εὐχαῖς σου,
καὶ ἀρετὰς καινοπρεπεῖς θεῖε Νεαπολίτα,
ἡ πένης καὶ πανενδεὴς βοᾷ σοι Ἰσιδώρα,
ὅπως τὸν ὑπερτέλειον Θεὸν δοξολογήσω,
Πατέρα ἅμα τῷ Υἱῷ σὺν Πνεύματι Ἁγίῳ,
ᾧ δόξης ἅπαν πλήρωμα πρέπει εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ
ΘΕΩ ΤΕ ΠΑΝΤΟΚΡΑΤΟΡΙ,
ΠΡΕΠΕΙ ΤΙΜΗ ΚΑΙ ΚΡΑΤΟΣ,
ΔΟΞΑ ΤΕ ΚΑΙ ΠΡΟΣΚΥΝΗΣΙΣ,
ΑΙΩΝΑΣ ΕΙΣ ΑΙΩΝΩΝ
ΑΜΗΝ



www.tezaurliturgic.ro



# ΑΚΟΛΟΥΘΙΑ ΤΟΥ ΑΓΙΑΣΜΟΥ ΔΙΑ ΤΟΥ ΑΓΙΟΥ ΜΑΡΤΥΡΟΣ ΘΕΟΧΑΡΟΥΣ ΤΟΥ ΝΕΑΠΟΛΙΤΟΥ

(οὗ ἡ ἱερὰ μνήμη ἐπιτελεῖται τὴν 20ὴν Αὐγούστου)

Ποίημα Καθηγουμένης Ἰσιδώρας Μοναχῆς Ἁγιεροθεϊτίσσης.

Εὐλογήσαντος τοῦ ἱερέως τό· Κύριε εἰσάκουσον…
Θεὸς Κύριος… Καὶ τὰ παρόντα τροπάρια.

Ἦχος δʹ. Ὁ ὑψωθεὶς ἐν τῷ Σταυρῷ…

Ἀγαρηνῶν μὴ πτοηθεὶς τὴν μανίαν, ὁ Θεοχάρης τοῦ Χριστοῦ ὁ ὁπλίτης, πρὸς τοὺς ἀγῶνας ἔδραμε, βοῶν εὐθαρσῶς· πλάνην δυσειδαίμονα, τῶν ἀθέων ἀρνοῦμαι, σέβω καὶ λατρεύω γάρ, τὸν τῶν ὅλων Δεσπότην· καὶ τῇ Αὐτοῦ δυνάμει ἐν χαρᾷ, καθυπομένω, σαρκὸς τὰ ἐπίπονα.

Δόξα. Ὅμοιον.

www.tezaurliturgic.ro

Ἐκ Νεαπόλεως ὡς ἄστρον ἐφάνης, Μάρτυς Θεόχαρες δουλείας ἐν χρόνοις, καὶ Μικρασίαν ἅπασαν, τῷ σῷ φωτισμῷ· ηὔφρανας καὶ ἔδειξας, τὴν τῆς πίστεως δόξαν, ἣν καὶ ἐπεσφράγισας, σῶν αἱμάτων τοῖς ῥείθροις· Θεσσαλονίκην ἅμα τε σεπτῶς, καθαγιάζεις, τοῖς θείοις λειψάνοις σου.

Καὶ νῦν. Ὅμοιον. Θεοτοκίον.

Τῆς συμπαθείας σου Ἁγνὴ τὰ ἐλέη, καὶ μητρικῆς σου προμηθείας τὸν πλοῦτον, ἐν ἀγαθοῖς χαρίσμασι, παράσχου ἡμῖν· ἔχεις γὰρ τὸ δύνασθαι, τῇ θελήσει σου ἴσον, μόνη ὡς βαστάσασα, ἐν χερσί σου ἀφράστως· τὸν Βασιλέα γῆς καὶ οὐρανοῦ, Ὃν ἀτενίζειν, οὐ δύνανται Ἄγγελοι.

Ὁ Ν' Ψαλμός.

Εἶτα. Οἱ Κανόνες. Ἦχος πλ. β' Ὁ Εἱρμός.

Ἡ τὸ χαῖρε δι' Ἀγγέλου δεξαμένη, καὶ τεκοῦσα τὸν κτίστην τὸν ἴδιον, Παρθένε σῶζε, τοὺς σὲ μεγαλύνοντας».

Τοῦ Δεσπότου Χριστοῦ.

Ὁ ἐκ πέτρας ἀκροτόμου βλύσας ὕδωρ, καὶ κορέσας λαὸν περιούσιον, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Ὁ πηγάσας ἐκ πλευρᾶς σου λογχευθείσης, σὺν τῷ αἵματι ὕδωρ Φιλάνθρωπε, ὕδωρ νῦν τοῦτο, εὐλόγησον Δέσποτα.

www.tezaurliturgic.ro

Ὁ τὰ ὕδατα χερσώσας σῇ δυνάμει, καὶ περάσας λαὸν ὃν ἠγάπησας, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Ὁ προστάξει σου τὴν γῆν δημιουργήσας, καὶ ἑδράσας αὐτὴν ἐν τοῖς ὕδασι, ὕδωρ νῦν τοῦτο, εὐλόγησον Δέσποτα.

Ὁ ἐκπλύνας ταῖς ῥοαῖς τοῦ Ἰορδάνου, τῶν ἀνθρώπων τὸν ῥύπον Φιλάνθρωπε, ὕδατι τούτῳ, τὴν χάριν σου δώρησαι.

Ὁ εὐχῆς τοῦ Ἠλιοὺ ἀκούσας πάλαι, καὶ τὸν ὄμβρον τῇ γῇ δωρησάμενος, ὕδατι τούτῳ, σὴν χάριν δὸς Δέσποτα.

Ὁ τοῖς ὕδασι τὴν γῆν σου κατακλύσας, καὶ παιδεύσας λαὸν ἁμαρτήσαντα, ὕδατι τούτῳ, σὴν χάριν δὸς Δέσποτα.

Ὁ τὰ ὕδατα Μεῤῥᾶς καταγλυκάνας, καὶ ποτίσας λαὸν περιούσιον, ὕδατι τούτῳ, σὴν χάριν δὸς Δέσποτα.

Ὁ ἀνοίξας ὀφθαλμοὺς τυφλοῦ χερσί σου, νιψαμένου ἐν ὕδατι Κύριε, ὕδωρ νῦν τοῦτο, εὐλόγησον Δέσποτα.

Ὁ τὸ ὕδωρ τῆς ζωῆς τῆς αἰωνίου, Σαμαρείτιδι δοὺς ἐν τῷ φρέατι, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Ὁ δι᾽ ὕδατος καὶ πνεύματος καινίζων, ὀλισθήσασαν φύσιν τὴν βρότειον, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Ὁ ἀείῤῥους ποταμὸς τῶν ἰαμάτων, Παντοκράτορ Φιλεύσπλαγχνε Κύριε, ὕδατι ῥᾶνον, νῦν τούτῳ τὴν χάριν σου.

Ὁ ζωῆς τῆς ἀθανάτου βλύζων ῥεῖθρα, καὶ θανάτου ξηράνας τὴν δύναμιν, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Ὁ κρατῶν ἐν ταῖς χερσί σου τὸν κρατῆρα, τῶν ἐνθέων χαρίτων Φιλάνθρωπε, ὕδατι τούτῳ, τὴν χάριν σου δώρησαι.

Ὁ τὸν πόλον ἐν νεφέλαις σπαργανώσας, ὑετόν τε τῇ γῇ παρεχόμενος, ὕδατι τούτῳ, παράσχου τὴν χάριν σου.

Ὁ τὸν ῥύπον τῶν ἀνθρώπων ἀποσμήχων, θεοῤῥύτοις Σου Λόγε δωρήμασι, ὕδατι ῥᾶνον, νῦν τούτῳ τὴν χάριν σου.

Ὁ τὰ δάκρυα τῆς πόρνης μεταγνώσει, ἐκχυθέντα δεξάμενος Κύριε, ὕδατι τούτῳ, τὴν χάριν σου ἔκχυσον.

Ὁ τὸν ὄμβρον τοῖς ἀνθρώποις ἀποστέλλων, γεωργῶν τε ψυχὰς ἃς διέπλασας, ὕδατι τούτῳ, σὴν χάριν ἀπόστειλον.

Ὁ πολλοὺς ἐξ ἀσθενείας θεραπεύσας, Σιλωὰμ ἐν τοῖς ὕδασι Δέσποτα, ὕδατι τούτῳ, τὴν χάριν σου δώρησαι.

Ὁ τὴν φύσιν τῶν ὑδάτων ἁγιάσας, τῇ Βαπτίσει σου μόνε Φιλάγαθε, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

www.tezaurliturgic.ro

Ὁ ἀρδεύων τὰς ψυχὰς τῶν πεποιθότων, ἐπὶ σοὶ τῇ πηγῇ τῆς χρηστότητος, ὕδωρ νῦν τοῦτο, ἁγίασον Δέσποτα.

Τῆς Θεοτόκου. Ὅμοια.

Τὸν Δεσπότην τοῦ παντὸς ἀποτεκοῦσα, δίχα ῥεύσεως Κόρη Θεόνυμφε, ἔλεος ῥᾶνον, τοῖς δούλοις σου Δέσποινα.

Τοῦ ἐλέους ποταμὸν ἀποτεκοῦσα, οἰκτιρμῶν τε τὸ πέλαγος ἔχουσα, βλῦσον μοι ῥεῖθρα, Ἁγνὴ σῆς χρηστότητος.

Ζωοδόχος ὡς πηγὴ οὖσα Παρθένε, ἰαμάτων τε κρήνη ὑπάρχουσα, σωμάτων πάθη, ψυχῶν τε θεράπευσον.

Ὡς κυήσασα τὴν ἄβυσσον σοφίας, ἀπορρήτως Παρθένε ἀκήρατε, πιστοῖς παράσχου, ἐλέους τὴν ἄβυσσον.

Ἡ τὸν ἥλιον τὸν ἄδυτον τῷ κόσμῳ, ἀνατείλασα κόρη ὁλόφωτε, ψυχῶν τὰς κόρας, ἡμῶν φωταγώγησον.

Ἀκεσώδυνον ὡς τέξασα Σωτῆρα, σωτηρίας τε οὖσα κεφάλαιον, Παρθένε σῶζε, τοὺς πίστει ὑμνοῦντας σε.

Ὡς νεφέλη νοητὴ οὖσα Παρθένε, τῶν παθῶν τὴν ὁμίχλην διάλυσον, τοῖς προσκυνοῦσι, τὴν θείαν λοχείαν σου.

Ὡς χορῶν Ἀγγελικῶν τιμιωτέρα, ὑπερτέρα ἁπάσης τε κτίσεως, Ἁγνὴ Παρθένε, παθῶν ἡμᾶς ὕψωσον.

Ὡς τοῦ Νόμου τὸν Δοτῆρα ἐν γαστρί σου, Θεοτόκε Μαρία βαστάσασα, νόμον τηρῆσαι, ἡμᾶς θεῖον ποίησον.

Παρθενίας ὡς εὐώδης οὖσα οἶκος, καὶ ἁγνείας τὸ θεῖον κειμήλιον, Παρθένε μόνη, ἁγνοὺς ἡμᾶς ποίησον.

Ὡραιότητος εἰκὼν οὖσα Παρθένε, καὶ λαμπρότητος ἔξοχον ἄκουσμα, ἡμῶν καρδίας, Ἁγνὴ κατακόσμησον.

Θησαυρὸν τὸν ἀδιάφθορον τεκοῦσα, ἀφθαρσίας τε οὖσα καλλώπισμα, Παρθένε Κόρη, ἡμᾶς καταφαίδρυνον.

Τὸν Θεὸν ὡς τετοκυῖα ἀποῤῥήτως, καὶ χερσί σου βαστάσασα πάναγνε, ἡμῶν κουφίζου, τὸ βάρος τῶν θλίψεων.

Χαρισμάτων τὸν Δοτῆρα ἡ τεκοῦσα, δωρεῶν τε τὸ πλήρωμα ἔχουσα, Παρθένε δίδου, ἡμῖν τὰ ἐλέη σου.

Ἁγιάσματος σκηνὴ οὖσα Παρθένε, καὶ ἁγνείας πηγὴ ἀδαπάνητος, ἡμῶν τὸν βίον, ἁγνὸν διατήρησον.

Δυσωπεῖν τὸν σὸν Υἱὸν ἐν παῤῥησίᾳ, μὴ ἐλλείπῃς ἀεὶ Θεοδόξαστε, ἡμῖν τὴν δόξαν, τὴν θείαν δωρήσασθαι.

Τῶν Ἁγίων Ἀναργύρων.

www.tezaurliturgic.ro

Τῶν ἰάσεων τὴν χάριν εἰληφότες, ἐκ Θεοῦ θεοφόροι Ἀνάργυροι, ἡμῶν ὀδύνας, καὶ πάθη ἰάσασθαι.

Δωρεὰν τὴν θεραπείαν χορηγοῦντες, τοῖς ὑμῖν προσιοῦσιν Ἀνάργυροι, ῥῶσιν κατ᾽ ἄμφω, ἡμῖν χορηγήσατε.

Τοῦ Θεοῦ τὴν ἐντολὴν ἀποπληροῦντες, ἐν τῷ βίῳ μηδὲν προσεκτήσασθε, φθαρτὸν χρυσίον, θεόπται Ἀνάργυροι.

Ἀνιάτως ἐν τῇ κλίνῃ με κειμένῳ, ἀμελείας Κυρίῳ δεήθητε, τοῦ ἐξεγεῖραι, κἀμέ ὦ Ἀνάργυροι.

Ἀνεμπόδιστον τὴν χάριν ὡς λαβόντες, τοῦ ἰᾶσθαι τὰς νόσους Ἀνάργυροι, ταύτην πλουσίως, τοῖς πᾶσι προχέετε.

Τῷ Χριστῷ ἀκολουθήσαντες ἐν πίστει, παρ᾽ Αὐτοῦ τὴν ἐνέργειαν ἔχετε, τοῦ θεραπεύειν, τὰ πάθη Ἀνάργυροι.

Θησαυρῶν καταφρονήσαντες γηΐνων, ἀδιάφθορον πλοῦτον ἐλάβετε, τοῦ ἰατρεύειν, τὰς νόσους Ἀνάργυροι.

Ἀκωλύτως τὴν ὁδὸν Εὐαγγελίου, διοδεύσαντες θεῖοι Ἀνάργυροι, εὕρατε χάριν, ἰᾶσθαι τοὺς πάσχοντας.

Μετὰ πάντων τῶν Ἁγίων δυσωπεῖτε, τὸν Δεσπότην ἀπαύστως Ἀνάργυροι, ἡμῖν παρέχειν, κατ᾽ ἄμφω τὴν ἴασιν.

www.tezaurliturgic.ro

# ΤΟΥ ΑΓΙΟΥ ΘΕΟΧΑΡΟΥΣ. ΟΜΟΙΑ

*Ὧν ἡ ἀκροστιχίς·*

«Χαῖρε Μάρτυς Θεόχαρες. Ἰσιδώρας»

Χαριτόπλοκον ᾠδήν σοι ἀναμέλπω, στεφανίτα Θεόχαρες ἔνδοξε, Νεαπολίτα, Μαρτύρων ὁ ἔπαινος.

Ἀριστεύσας ὦ Θεόχαρες τοῖς ἄθλοις, ἐν τῷ φόβῳ Θεοῦ με στερέωσον, καὶ ἐν εὐθείᾳ, ὁδῷ με ὁδήγησον.

Ἰοβόλου ἐκ κακίας διαβόλου, καὶ ἐκ πλάνης ἐχθροῦ ὦ Θεόχαρες, τοῦ ἀποστάτου, ἡμᾶς ἐλευθέρωσον.

Ῥιζοτόμος ὦ Θεόχαρες τῆς πλάνης, φυτοκόμος καλῶν ἀνεδείχθης τε, καρποφορήσας, πλουσίως τὰ κρείττονα.

Ἑορτάζει ὦ Θεόχαρες σὴν μνήμην, Μικρασίας Νεάπολις χαίρουσα, Καππαδοκία, συνάμα δοξάζει σε.

Μυροβόλον ὦ Θεόχαρες ὡς ῥόδον, εὐωδίαν παρέχεις τοῦ Πνεύματος, καὶ οὐρανίου, ζωῆς τὰ χαρίσματα.

Ἀκεσώδυνον Θεόχαρες τὴν ῥῶσιν, τῶν τιμίων λειψάνων ἡ θήκη σου, ἀναπηγάζει, παθῶν τε τὴν ἴασιν.

Ῥαθυμίαν ὦ Θεόχαρες καὶ λήθην, ἐκδιώξας τῆς νήψεως γέγονας, λύχνος φωτίζων, τοῦ κόσμου τὰ πέρατα.

Τῶν τυράννων κατενώπιον εὐτόλμως, τὸν Θεὸν ὡμολόγεις Θεόχαρες, μὴ δειλιάσας, βασάνων σκληρότητα.

Ὑδατόβρυτος Θεόχαρες ὡς κρήνη, ἰαμάτων ὠφέλιμα νάματα, ἀεὶ ἐκβλύζεις, ἐν πάσῃ χρηστότητι.

Στρατιῶτα παρατάξεως Κυρίου, πανοπλίτα γενναῖε Θεόχαρες, ἡμῖν παράσχου, τῆς νίκης τὸν στέφανον.

Θεοχάρους τοὺς ἀγῶνας ἐν σταδίῳ, τῶν Ἀγγέλων χοροὶ κατεπλάγησαν, ὅτι σαρκίου, φθαρτοῦ κατεφρόνησεν.

Εὐκρινέστατος Θεόχαρες ὡς κῆρυξ, τὸν τῶν ὅλων Θεὸν ὡμολόγησας, καὶ τῶν ἀθέων, τὰ ψεύδη διήλεγξας.

Χαλεπαῖς ἐν ταῖς ἡμέραις τῆς δουλείας, ἐξαιρέτως Θεόχαρες ἔλαμψας, αἰχμαλωσίας, τὸ σκότος τε ἔλυσας.

Ἀνδρειότατε Θεόχαρες ὁπλῖτα, ἀδαμάντινον ἔσχες τὸ φρόνημα, καὶ τῆς ψυχῆς σου, τὸν τόνον ἀσάλευτον.

Ῥητορίαις σου Θεόχαρες τῶν λόγων, φληναφίας ἀθέων κατῄσχυνας, τοῦ ὑπερσόφου, Θεοῦ ὡς ἀκόλουθος.

www.tezaurliturgic.ro

Ἐξαιρέτως ὦ Θεόχαρες ἐκλάμπει, τῆς ψυχῆς σου τὸ κάλλος τὸ ἄῤῥητον, καὶ κατευφραίνει, Ἀγγέλων τὰ τάγματα.

Σοὶ Θεόχαρες τὸ γόνυ τῆς ψυχῆς μου, καὶ τοῦ σώματος κάμπτω καὶ δέομαι, μὴ ἐπιλάθῃ, οἰκτρᾶς μου δεήσεως.

Ἰσχυρά σου ὦ Θεόχαρες ἡ χάρις, πρὸς Θεὸν τὸν ἐν πᾶσι φιλάγαθον, αὐτοῦ τὰ σπλάγχνα, εἰς ἔλεος κάμπτουσα.

Σὺν τοῖς Μάρτυσιν Θεόχαρες ἀγάλλει, σὺν Ἁγίοις ὁμοῦ καὶ Δικαίοις τε, εἰς τοὺς αἰῶνας, ἐν δόξῃ παρίστασαι.

Ἱλαρόφωτος Θεόχαρες ὡς λύχνος, καταυγάζεις, ψυχῶν αἰσθητήρια, καὶ τὰ τοῦ κόσμου, λαμπρύνεις πληρώματα.

Δυσωπεῖν μὴ διαλίπῃς ὑπὲρ πάντων, τὸν Θεὸν ταῖς εὐχαῖς σου Θεόχαρες, τοῦ λυτρωθῆναι, κινδύνων τοὺς δούλους σου.

Ὡριμώτατος Θεόχαρες ὡς βότρυς, τοῖς ληνοῖς μαρτυρίου θλιβόμενος, οἶνον γλυκύν τε, καὶ ἄῤῥητον ἔβλυσας.

Ῥάβδῳ θείᾳ τοῦ Σταυροῦ τοῦ ζωηφόρου, στηριχθεὶς ὦ Θεόχαρες ἔφυγες, αἰχμαλωσίας, πικρίαν ἐπώδυνον.

Δόξα. (Τριαδικόν).

Ἀκατάληπτε Μονὰς ἡ ἐν Τριάδι, καὶ Τριὰς ἐν Μονάδι ὑπέρθεε, ἡμῖν παράσχου, τὸ μέγα σου ἔλεος.

Καὶ νῦν. (Θεοτοκίον).

Σὺν Ἀγγέλῳ Γαβριὴλ τὸ χαῖρε κράζω, Θεοτόκε Μαρία Πανάχραντε, τῷ σῷ γὰρ τόκῳ, χαρὰν πάντες εὕρομεν.

Εἰ βούλει εἰπὲ καὶ τὰ ἀκόλουθα·

**Σταυρὲ τοῦ Χριστοῦ, σῶσον ἡμᾶς τῇ δυνάμει σου.**

Τῇ δυνάμει τοῦ Σταυροῦ σου ἐλεῆμον, ἐξ ἐχθρῶν ἐπηρείας διάσωσον, τοὺς προσκυνοῦντας, Αὐτὸν μετὰ πίστεως.

**Πᾶσαι αἱ οὐράνιαι Δυνάμεις τῶν Ἁγίων Ἀγγέλων καὶ Ἀρχαγγέλων, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Ἀσωμάτων λειτουργῶν σὲ δυσωποῦσι, οἱ χοροὶ μετὰ δέους μακρόθυμε, πᾶσι διδόναι, πταισμάτων τὴν ἄφεσιν.

**Βαπτιστὰ τοῦ Χριστοῦ, πρέσβευε ὑπὲρ ἡμῶν.**

Χεῖρα Πρόδρομος ὑψοῖ εἰς ἱκεσίαν, παρ᾽ ἧς βάπτισμα ἔλαβες εὔσπλαγχνε, βροτοῖς τοῦ δοῦναι, ἐλέους τὸ πέλαγος.

**Ἅγιοι Ἀπόστολοι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Τὰς φωνὰς τῶν Ἀποστόλων σου προσδέχου, δι᾽ ὧν ἔθνη εἰς σὲ ἐβαπτίσθησαν, Σωτὴρ τοῦ κόσμου, καὶ σῶσον οὓς ἔπλασας.

**Ἅγιοι Ἱεράρχαι, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Ἁγιώτατος χορὸς Ἱεραρχῶν σε, ὁ θυσίας δεκτὰς προσκομίσας σοι, σὲ ἱκετεύει, Χριστὲ σῶσαι κόσμον σου.

**Ἅγιοι Προφῆται, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Προφητῶν ὁ θεῖος δῆμος ὁ λαλήσας, περὶ σοῦ Ἰησοῦ Ὑπεράγαθε, σοὶ λέγει πάντων, τὸ χρέος ἐξάλειψον.

**Ἅγιοι ἔνδοξοι Μάρτυρες, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Ἐν τοῖς αἵμασιν ὑμῶν Μάρτυρες θεῖοι, τὸν Δεσπότην Χριστὸν ἐμιμήσασθε, ἐν παῤῥησίᾳ Αὐτὸν ἱκετεύσατε.

**Ὅσιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Τῶν δακρύων ταῖς ῥοαῖς χορὸς Ὁσίων, Ἐκκλησίαν Χριστοῦ κατελάμπρυνε, Αὐτῶν πρεσβείαις, Σωτὴρ ἡμᾶς οἴκτειρον.

**Δίκαιοι τοῦ Θεοῦ, πρεσβεύσατε ὑπὲρ ἡμῶν.**

Πατριαὶ αἱ τῶν Δικαίων Θεοῦ Λόγε, οἱ τιμίως τὸν δρόμον τελέσασαι, σὺν παῤῥησίᾳ, ἀεὶ δυσωποῦσί σε.

Δόξα. Τριαδικόν.

Σὺν Πατρὶ Υἱὸν καὶ Πνεῦμα προσκυνοῦμεν, ἐν Τριάδι τὸν ἕνα Θεὸν ἡμῶν, τὸν ἐκ μὴ ὄντων, τὸ πᾶν συστησάμενον.

www.tezaurliturgic.ro

Καὶ νῦν. Θεοτοκίον.

Ἡ ἁγνῶς σαρκὶ τεκοῦσα σε ἐν κόσμῳ, ὑπὲρ πάντων πρεσβείαν προσάγει σοι, Χριστὲ τοῦ δοῦναι, εἰρήνην τοῖς ἔθνεσιν.

Μετὰ τὰς συνήθεις εὐχὰς τοῦ Ἁγιασμοῦ, λέγομεν καὶ τὴν παροῦσαν·

Εὐχὴ εἰς τὸν Ἅγιον Μάρτυρα Θεοχάρην τὸν Νεαπολίτην.

Ὁ τοῦ ἐλέους χορηγὸς καὶ τῆς ἀγαθότητος πηγή, Χριστὲ ὁ Θεὸς ἡμῶν· ὁ τὸ πέλαγος τῶν ἀφάτων οἰκτιρμῶν σου, δι' ἄκραν καὶ ἀνείκαστον φιλανθρωπίαν ἀντιμετρήσας τῷ πλήθει τῶν πταισμάτων ἡμῶν· ὁ τὴν ἄβυσσον τῆς πατρικῆς φιλοστοργίας σου παρέχων ἑνὶ ἑκάστῳ τῶν ἐπικαλουμένων σε ἐξ ὅλης καρδίας, καὶ ἐν αὐτῇ βυθίζων καὶ ἐξαλείφων πᾶν ἁμάρτημα τῶν εἰλικρινῶς μετανοούντων καὶ ἐν συντριβῇ τὸ σὸν ἔλεος ἐπιζητούντων ἐν παντί· ὁ τῶν σῶν Ἁγίων δεχόμενος τὰς προσφορὰς καὶ τῶν σῶν Μαρτύρων τοῖς αἵμασιν ἱλασκόμενος καὶ ὑπ' αὐτῶν ἀπαύστως ἐν εὐμενείᾳ δυσωπούμενος· ὁ διδοὺς ἰσχὺν παντὶ τῷ διὰ σὲ τὴν τῆς εὐσεβείας καὶ ἀρετῆς ὁδὸν ἀνύοντι, ἵνα καλῶς φθάσῃ εἰς τὴν τοῦ ἁγιασμοῦ σου σωτηριώδη προσδοκίαν·

Αὐτὸς καὶ νῦν, φιλόδωρε Κύριε καὶ Βασιλεῦ τῶν ἁπάντων, κάμφθητι ἐν ἱλασμοῖς καὶ τὸ ἔλεός σου δὸς ἡμῖν τοῖς εἰς σὲ εἰλικρινῶς καταφεύγουσιν· ἔτι δὲ οἰκτείρησον ἡμᾶς, ταῖς δεήσεσιν τοῦ Ἁγίου Μάρτυρός σου Θεοχάρους τοῦ Νεαπολίτου, ὃς ὑπὲρ σοῦ τὸν καλὸν τῆς ἀθλήσεως τετέλεκεν ἀγῶνα καὶ τὸ αἷμα αὐτοῦ ἐξέχεε,

www.tezaurliturgic.ro

ἐπὶ τοῦ δένδρου τῆς λεύκης κρεμασθεὶς καὶ τὸ μακάριον τοῦ μαρτυρίου τέλος ἐπ' αὐτοῦ δεξάμενος· δὸς ἡμῖν, ταῖς αὐτοῦ εὐπροσδέκτοις πρεσβείαις καὶ ταῖς μαρτυρικαῖς αὐτοῦ δεήσεσι, τὸ πλῆθος τῆς ἀφάτου σου συμπαθείας, τὸ βαθύ τε καὶ ἀνεξάντλητον· παράσχου δὲ ἡμῖν, ἄφεσιν ἁμαρτιῶν καὶ πταισμάτων τὴν συγχώρησιν· ἵνα ἐν ἑνὶ στόματι καὶ μιᾷ καρδίᾳ, δοξάζομέν σου τὸ πανάγιον ὄνομα, σὺν τῷ Πατρὶ καὶ τῷ Ἁγίῳ Πνεύματι, τῇ Μιᾷ, Ἁγίᾳ καὶ Ἀχωρίστῳ καὶ Ζωοποιῷ καὶ Παντουργῷ Θεότητι, ᾗ πρέπει πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, πᾶσα τε μεγαλωσύνη, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων. Ἀμήν.

Τοῦ δὲ ἱερέως ῥαντίζοντος διὰ τοῦ Τιμίου Σταυροῦ τοὺς πιστοὺς τοὺς ἀσπαζομένους τούτου, ψάλλομεν τὸ παρόν.

Ἰδιόμελον. Ἦχος δʹ. Πηγὴν Ἰαμάτων

Πολλὴν οὐρανόθεν ἔλαβες, χάριτος περίσσειαν, καὶ συμφώνως ἀνέδραμες μέσον τῶν παρανόμων, ὦ Θεόχαρες στεῤῥὲ ὁμολογῆσαι, καλῶς τοῦ ἀθανάτου Θεοῦ τὰς ἁγίας ἀρχάς. Πολλὰς οὖν ἀπειλὰς καὶ μάστιγας, Νεαπολίτα καθυπομείνας· ἰσχὺν ἔθραυσας ἐχθροῦ τοῦ ἀρχεκάκου, τῇ σῇ μεγάλῃ καρτερίᾳ, ὅθεν αὐτοῦ καθεῖλες, τὴν ἐπηρμένην Μάρτυς κάραν καὶ σθένος τὸ σαθρόν τε. Τιμὴν οὖν οὐράνιον Χριστὸς καλῶς παραχωρήσας σοι, ἐκτενῶς ἱκέτευε, καὶ ἡμῖν δωρήσασθαι, τὸν ἀκένωτον ἐλέους ποταμόν, τοῖς σὲ τιμῶσι πιστῶς.

Δόξα.

www.tezaurliturgic.ro

Νεῦσον παρακλήσεσι σῶν ἱκετῶν, Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα· μὴ αἰσχυνθῶμεν, Δέσποινα, σὲ προσκαλούμενοι. Σπεῦσον εἰς ἱκεσίαν τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

Καὶ νῦν. Θεοτοκίον

Καὶ τό·

Δέσποινα πρόσδεξαι, τὰς δεήσεις τῶν δούλων σου, καὶ λύτρωσαι ἡμᾶς, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

## Δίστιχα Ἀκροτελεύτια.

Ἁγιασμοῦ παράσχου μοι τὰς θείας εὐλογίας,
Θεόχαρες πρωταθλητὰ Χριστοῦ Νεαπολίτα,
βοᾷ ᾠδῶν προσαγωγαῖς ἡ πένης Ἰσιδώρα,
ἵνα Θεοῦ τὸ ἔλεος τὸ ἀρεστὸν πλουτήσω
καὶ τούτου τὴν ἀνείκαστον δοξάζω εὐσπλαγχνίαν,
Πατρός, Υἱοῦ καὶ Πνεύματος τῆς θείας Μοναρχίας
ᾗ πρέπει ἡ προσκύνησις Θεαρχική τε δόξαν,
τιμὴ μεγαλωσύνη τε εἰς πάντας τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ
ΚΑΙ ΤΩ͂ ΜΕΓΑΛΟΥΡΓΩ͂ ΘΕΩ͂ ΗΜΩΝ,
ΕΥΧΑΡΙΣΤΙΑΝ ΔΩΜΕΝ.

